BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

FLORILEGIVM GRAECVM

IN VSVM PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM A

PHILOLOGIS AFRANIS

FASCICVLVS IX

EXEMPLAR ITERATVM

MCMVII
LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI

Collections

FLORILEGIVM GRAECVM

//

IN VSVM PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM A

PHILOLOGIS AFRANIS

FASCICVLVS IX

EXEMPLAR ITERATVM

MCMVII

LIPSIAE

IN AEDIBVS B. G. TEVBNERI

In hac iteratione praeter interpunctionem, orthographiam, accentus haec nouauimus: I 3 *ἐπισφαλὴς* pro *ἐπιφανὴς*; 5 *ὅλως οἷόν τε* pro *ἄλλως ἔτι*; 6 *αὑτῶν* pro *αὐτῶν*, II 4 *ἡμῶν· φθείρεται μὲν γὰρ ὁ* pro *ἴδοις ἄν· φθείρεται μὲν*; 5 *ἀλλὰ τοῦτ' αὐτὸ* pro *ἀλλ' ἐκ τούτου αὐτοῦ*; 9 *αὐτὸν* pro *αὐτὸ*, III 6 *τρέφουσι* pro *τρέπουσι*, VI 4 *προσήκει τιμῆς* pro *προσήκει*, VII 3 *ῥόπαλον* pro *πῖλον*, X 3 *καθειμένοις* pro *καθημένοις*, XI 12 *ἄρκτεια* pro *ἄρκεια*.

LIPSIAE: TYPIS B. G. TEVBNERI

I. De oraculis a Pythia editis Plutarchi aetate.

(Plutarch. de Pyth. orac. c. 28—30. cf. fasc. IV p. 22.)

Τὰ νῦν πράγματα καθεστῶτα, περὶ ὧν ἐρωτῶσι 1
τὸν θεόν, ἀγαπῶ μὲν ἔγωγε καὶ ἀσπάζομαι· πολλὴ γὰρ
εἰρήνη καὶ ἡσυχία, πέπαυται δὲ πόλεμος, καὶ πλάναι
καὶ στάσεις οὐκ εἰσὶν οὐδὲ τυραννίδες οὐδὲ ἄλλα νο-
σήματα καὶ κακὰ τῆς Ἑλλάδος ὥσπερ πολυφαρμάκων
δυνάμεων χρῄζοντα καὶ περιττῶν. ὅπου δὲ ποικίλον
οὐδὲν οὐδ' ἀπόρρητον οὐδὲ δεινόν, ἀλλ' ἐπὶ πράγμασι
μικροῖς καὶ δημοτικοῖς ἐρωτήσεις, οἷον ἐν σχολῇ προ-
τάσεις, εἰ γαμητέον, εἰ πλευστέον, εἰ δανειστέον, τὰ
δὲ μέγιστα πόλεων μαντεύματα, φορᾶς καρπῶν πέρι
καὶ βοτῶν ἐπιγονῆς καὶ σωμάτων ὑγιείας, ἐνταῦθα
περιβάλλειν μέτρα καὶ πλάττειν περιφράσεις καὶ γλώσ-
σας ἐπάγειν πύσμασιν ἁπλῆς καὶ συντόμου δεομένοις
ἀποκρίσεως ἔργον ἐστὶ φιλοτίμου σοφιστοῦ καλλωπί-
ζοντος ἐπὶ δόξῃ χρηστήριον. ἡ δὲ Πυθία καὶ καθ'
αὑτὴν μέν ἐστι γενναία τὸ ἦθος, ὅταν δ' ἐκεῖ κατέλθῃ
καὶ γένηται παρὰ τῷ θεῷ, πλέον ἀληθείας ἐκείνῃ μέλει
ἢ δόξης καὶ ἀνθρώπων ἐπαινούντων ἢ ψεγόντων.

Ἔδει δὲ ἴσως καὶ ἡμᾶς ἔχειν οὕτως· νῦν δὲ ὥσπερ 2
ἀγωνιῶντες καὶ δεδιότες, μὴ τρισχιλίων ἐτῶν ἀποβάλῃ
δόξαν ὁ τόπος καὶ τοῦ χρηστηρίου καθάπερ σοφιστοῦ

διατριβῆς ἀποφοιτήσωσιν ἔνιοι καταφρονήσαντες, ἀπολογούμεθα καὶ πλάσσομεν αἰτίας καὶ λόγους ὑπὲρ ὧν οὔτ' ἴσμεν οὔτ' εἰδέναι προσῆκον ἡμῖν ἐστι, παραμυθούμενοι τὸν ἐγκαλοῦντα καὶ πείθοντες, οὐ χαίρειν ἐῶντες.

Hom. β 190. *'Αὐτῷ γάρ οἱ πρῶτον ἀνιηρώτερον ἔσται',* *τοιαύτην ἔχοντι περὶ τοῦ θεοῦ δόξαν, ὥστε ταυτὶ μὲν τὰ προγεγραμμένα τῶν σοφῶν, τὸ 'Γνῶθι σαυτὸν' καὶ τὸ 'Μηδὲν ἄγαν', ἀποδέχεσθαι καὶ θαυμάζειν οὐχ ἥκιστα διὰ τὴν βραχυλογίαν ὡς πυκνὸν καὶ σφυρήλατον νοῦν ἐν ὀλίγῳ περιέχουσαν ὄγκῳ, τοὺς δὲ χρησμούς, ὅτι συντόμως καὶ ἁπλῶς καὶ δι' εὐθείας τὰ*
8 *πλεῖστα φράζουσιν, αἰτιᾶσθαι. καὶ τὰ τοιαῦτα μὲν ἀποφθέγματα τῶν σοφῶν ταὐτὸν τοῖς εἰς στενὸν συνθλιβεῖσι πέπονθε ῥεύμασιν. οὐ γὰρ ἔχει τοῦ νοῦ δίοψιν οὐδὲ διαύγειαν, ἀλλ' ἐὰν σκοπῇς, τί γέγραπται καὶ λέλεκται περὶ αὐτῶν τοῖς ὅπως ἕκαστον ἔχει βουλομένοις καταμαθεῖν, οὐ ῥᾳδίως τούτων λόγους ἑτέρους εὑρήσεις μακροτέρους. ἡ δὲ τῆς Πυθίας διάλεκτος, ὥσπερ οἱ μαθηματικοὶ γραμμὴν εὐθεῖαν καλοῦσι τὴν ἐλαχίστην τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, οὕτως οὐ ποιοῦσα καμπὴν οὐδὲ κύκλον οὐδὲ διπλόην οὐδ' ἀμφιβολίαν, ἀλλὰ εὐθεῖα πρὸς τὴν ἀλήθειαν οὖσα, πρὸς δὲ πίστιν ἐπισφαλὴς καὶ ὑπεύθυνος οὐδένα καθ' αὑτῆς ἔλεγχον ἄχρι νῦν παραδέδωκεν, ἀναθημάτων δὲ καὶ δώρων ἐμπέπληκε βαρβαρικῶν καὶ Ἑλληνικῶν τὸ χρηστήριον, οἰκοδομημάτων δὲ κάλλεσι καὶ κατασκευαῖς*
4 *Ἀμφικτυονικαῖς. ὁρᾶτε δήπουθεν αὐτοὶ πολλὰ μὲν ἐπεκτισμένα τῶν πρότερον οὐκ ὄντων, πολλὰ δ' ἀνειλημμένα τῶν συγκεχυμένων καὶ διεφθαρμένων· ὡς δὲ τοῖς εὐθαλέσι τῶν δένδρων ἕτερα παραβλαστάνει, καὶ*

*τοῖς Δελφοῖς ἡ Πυλαία συνηβᾷ καὶ συναναβόσκεται
διὰ τὰς ἐντεῦθεν εὐπορίας σχῆμα λαμβάνουσα καὶ μορ-
φὴν καὶ κόσμον ἱερῶν καὶ συνεδρίων καὶ ὑδάτων, οἷον
ἐν χιλίοις ἔτεσι τοῖς πρότερον οὐκ ἔλαβεν. οἱ μὲν οὖν
περὶ τὸ Γαλάξιον τῆς Βοιωτίας κατοικοῦντες ᾔσθοντο
τοῦ θεοῦ τὴν ἐπιφάνειαν ἀφθονίᾳ καὶ περιουσίᾳ γά-
λακτος· 'Προβάτων γὰρ ἐκ πάντων κελάρυξεν, ὡς ἀπὸ
κρηνάων φέρτατον ὕδωρ, θηλέων γάλα· τοὶ δὲ ἐνεπίμ-
πλων ἐσσύμενοι πίθους· ἀσκὸς δ' οὔτε τις ἀμφορεὺς
ἐλίνυε δόμοις, πέλλαι τε ξύλινοί τε πίθοι πλῆσθεν
ἅπαντες.' ἡμῖν δὲ λαμπρότερα καὶ κρείττονα καὶ σα-* 5
*φέστερα σημεῖα τούτων ἀναδίδωσιν, ὥσπερ ἐξ αὐχμοῦ
τῆς πρόσθεν ἐρημίας καὶ πενίας εὐπορίαν καὶ λαμπρό-
τητα καὶ τιμὴν πεποιηκώς. καίτοι φιλῶ μὲν ἐμαυτὸν
ἐφ' οἷς ἐγενόμην εἰς τὰ πράγματα ταῦτα πρόθυμος καὶ
χρήσιμος μετὰ Πολυκράτους καὶ Πετραίου, φιλῶ δὲ
τὸν καθηγεμόνα ταύτης τῆς πολιτείας γενόμενον ἡμῖν
καὶ τὰ πλεῖστα τούτων ἐκφροντίζοντα καὶ παρασκευ-
άζοντα· ἀλλ' οὐκ ἔστιν ὅλως οἷόν τε τηλικαύτην καὶ το-
σαύτην μεταβολὴν ἐν ὀλίγῳ χρόνῳ γενέσθαι δι' ἀν-
θρωπίνης ἐπιμελείας, μὴ θεοῦ παρόντος ἐνταῦθα καὶ
συνεπιθειάζοντος τὸ χρηστήριον.*

Ἀλλ' ὥσπερ ἐν τοῖς τότε χρόνοις ἦσαν οἱ τὴν λο- 6
*ξότητα τῶν χρησμῶν καὶ ἀσάφειαν αἰτιώμενοι, καὶ νῦν
εἰσιν οἱ τὸ λίαν ἁπλοῦν συκοφαντοῦντες. ὧν καὶ ἄδι-
κόν ἐστι κομιδῇ καὶ ἀβέλτερον τὸ πάθος. καὶ γὰρ οἱ
παῖδες ἴριδας μᾶλλον καὶ ἅλως καὶ κομήτας ἢ σελήνην
καὶ ἥλιον ὁρῶντες γεγήθασι καὶ ἀγαπῶσι· καὶ οὗτοι
τὰ αἰνίγματα καὶ τὰς ἀλληγορίας καὶ τὰς μεταφορὰς
τῆς μαντικῆς ἀνακλάσεις οὔσας πρὸς τὸ θνητὸν καὶ
φανταστικὸν ἐπιποθοῦσι· κἂν τὴν αἰτίαν μὴ ἱκανῶς*

πύθωνται τῆς μεταβολῆς, ἀπίασι τοῦ θεοῦ καταγνόντες, οὐχ ἡμῶν οὐδ' αὐτῶν ὡς ἀδυνάτων ὄντων ἐξικνεῖσθαι τῷ λογισμῷ πρὸς τὴν τοῦ θεοῦ διάνοιαν.

II. Quomodo litterae EI templi Delphici intellegendae sint.

(Plutarch. de *EI* apud Delphos c. 17—21.)

1 Οὔτ' ἀριθμὸν οὔτε τάξιν οὔτε σύνδεσμον οὔτ' ἄλλο τῶν ἐλλιπῶν μορίων οὐδὲν οἶμαι τὸ γράμμα σημαίνειν· ἀλλ' ἔστιν αὐτοτελὴς τοῦ θεοῦ προσαγόρευσις καὶ προσφώνησις, ἅμα τῷ ῥήματι τὸν φθεγγόμενον εἰς ἔννοιαν καθιστᾶσα τῆς τοῦ θεοῦ δυνάμεως. ὁ μὲν γὰρ θεὸς ἕκαστον ἡμῶν ἐνταῦθα προσιόντα οἷον ἀσπαζόμενος προσαγορεύει τὸ 'Γνῶθι σαυτόν', ὃ τοῦ 'χαῖρε' δὴ οὐδὲν μεῖόν ἐστιν. ἡμεῖς δὲ πάλιν ἀμειβόμενοι τὸν θεὸν 'Εἶ' φαμὲν ὡς ἀληθῆ καὶ ἀψευδῆ καὶ μόνην μόνῳ προσήκουσαν τὴν τοῦ εἶναι προσαγόρευσιν ἀποδιδόντες.

2 Ἡμῖν μὲν γὰρ ὄντως τοῦ εἶναι μέτεστιν οὐδέν, ἀλλὰ πᾶσα θνητὴ φύσις ἐν μέσῳ γενέσεως καὶ φθορᾶς γενομένη φάσμα παρέχει καὶ δόκησιν ἀμυδρὰν καὶ ἀβέβαιον αὐτῆς· ἂν δὲ τὴν διάνοιαν ἐπερείσῃς λαβέσθαι βουλόμενος, ὥσπερ ἡ σφοδρὰ περίδραξις ὕδατος τῷ πιέζειν εἰς ταὐτὸ καὶ συνάγειν διαρρέον ἀπόλλυσι τὸ περιλαμβανόμενον, οὕτω τῶν παθητῶν καὶ μεταβλητῶν ἑκάστου τὴν ἄγαν ἐνάργειαν ὁ λόγος διώκων ἀποσφάλλεται τῇ μὲν εἰς τὸ γιγνόμενον αὐτοῦ, τῇ δ' εἰς τὸ φθειρόμενον, οὐδενὸς λαβέσθαι μένοντος οὐδὲ ὄντος
3 ὄντως δυνάμενος. Ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ, καθ' Ἡράκλειτον, οὐδὲ θνητῆς οὐσίας δὶς

ἅψασθαι κατὰ ἕξιν· ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς
σκίδνησι καὶ πάλιν συνάγει, μᾶλλον δὲ οὐδὲ πάλιν
οὐδὲ ὕστερον, ἀλλ' ἅμα συνίσταται καὶ ἀπολείπει,
πρόσεισι καὶ ἄπεισι. ὅθεν οὐδ' εἰς τὸ εἶναι περαίνει
τὸ γιγνόμενον αὐτῆς τῷ μηδέποτε λήγειν μηδ' ἵστα-
σθαι τὴν γένεσιν, ἀλλ' ἀπὸ σπέρματος ἀεὶ μεταβάλ-
λουσαν ἔμβρυον ποιεῖν, εἶτα βρέφος, εἶτα παῖδα, μει-
ράκιον, ἐφεξῆς νεανίσκον, εἶτα ἄνδρα, πρεσβύτην,
γέροντα, τὰς πρώτας φθείρουσαν γενέσεις καὶ ἡλικίας
ταῖς ἐπιγιγνομέναις. ἀλλ' ἡμεῖς ἕνα φοβούμεθα γελοίως
θάνατον, ἤδη τοσούτους τεθνηκότες καὶ θνήσκοντες.
οὐ γὰρ μόνον, ὡς Ἡράκλειτος ἔλεγε, πυρὸς θάνατος 4
ἀέρι γένεσις καὶ ἀέρος θάνατος ὕδατι γένεσις, ἀλλ' ἔτι
σαφέστερον ἐπ' αὐτῶν ἡμῶν· φθείρεται μὲν γὰρ ὁ ἀκμά-
ζων γιγνομένου γέροντος, ἐφθάρη δ' ὁ νέος εἰς τὸν ἀκμά-
ζοντα καὶ ὁ παῖς εἰς τὸν νέον, εἰς δὲ τὸν παῖδα τὸ
νήπιον· ὅ τε χθὲς εἰς τὸν σήμερον τέθνηκεν, ὁ δὲ σή-
μερον εἰς τὸν αὔριον ἀποθνήσκει· μένει δὲ οὐδεὶς οὐδ'
ἔστιν εἷς, ἀλλὰ γιγνόμεθα πολλοὶ περὶ ἓν φάντασμα
καὶ κοινὸν ἐκμαγεῖον ὕλης περιελαυνομένης καὶ ὀλι-
σθαινούσης. ἐπεὶ πῶς οἱ αὐτοὶ μένοντες ἑτέροις χαί- 5
ρομεν νῦν, ἑτέροις πρότερον, τἀναντία φιλοῦμεν ἢ
μισοῦμεν, καὶ θαυμάζομεν καὶ ψέγομεν, ἄλλοις δὲ
χρώμεθα λόγοις, ἄλλοις πάθεσιν, οὐκ εἶδος, οὐ μορ-
φήν, οὐ διάνοιαν ἔτι τὴν αὐτὴν ἔχοντες; οὔτε γὰρ
ἄνευ μεταβολῆς ἕτερα πάσχειν εἰκὸς οὔτε μεταβάλλων
ὁ αὐτός ἐστιν· εἰ δ' ὁ αὐτὸς οὐκ ἔστιν, οὐδ' ἔστιν,
ἀλλὰ τοῦτ' αὐτὸ μεταβάλλει γιγνόμενος ἕτερος ἐξ
ἑτέρου. ψεύδεται δ' ἡ αἴσθησις ἀγνοίᾳ τοῦ ὄντος
εἶναι τὸ φαινόμενον.

Τί οὖν ὄντως ὄν ἐστι; τὸ ἀΐδιον καὶ ἀγένητον καὶ 6

ἄφθαρτον, ᾧ χρόνος μεταβολὴν οὐδὲ εἷς ἐπάγει. ἔστιν ὁ θεός, χρὴ φάναι, καὶ ἔστι κατ' οὐδένα χρόνον, ἀλλὰ κατὰ τὸν αἰῶνα τὸν ἀκίνητον καὶ ἄχρονον καὶ ἀνέγκλιτον καὶ οὗ πρότερον οὐδέν ἐστιν οὐδ' ὕστερον, οὐδὲ μέλλον οὐδὲ παρῳχημένον, οὐδὲ πρεσβύτερον οὐδὲ νεώτερον· ἀλλ' εἷς ὢν ἑνὶ τῷ νῦν τὸ ἀεὶ πεπλήρωκε, καὶ μόνον ἐστὶ τὸ κατὰ τοῦτον ὄντως ὄν, οὐ γεγονὸς οὐδ' ἐσόμενον, οὐδ' ἀρξάμενον οὐδὲ παυσό-

7 μενον. οὕτως οὖν αὐτὸ δεῖ σεβομένους ἀσπάζεσθαι καὶ προσαγορεύειν, ἢ καὶ νὴ Δία, ὡς ἔνιοι τῶν παλαιῶν, 'εἶ ἕν'. οὐ γὰρ πολλὰ τὸ θεῖόν ἐστιν, ὡς ἡμῶν ἕκαστος ἐκ μυρίων διαφορῶν ἐν πάθεσι γιγνομένων ἄθροισμα παντοδαπὸν καὶ πανηγυρικῶς μεμειγμένον· ἀλλ' ἓν εἶναι δεῖ τὸ ὄν, ὥσπερ ὂν τὸ ἕν. ἡ δ' ἑτερότης, διαφορὰ τοῦ ὄντος, εἰς γένεσιν ἐξίσταται τοῦ μὴ ὄντος. ὅθεν εὖ καὶ τὸ πρῶτον ἔχει τῷ θεῷ τῶν ὀνομάτων

8 καὶ τὸ δεύτερον καὶ τὸ τρίτον. Ἀπόλλων μὲν γὰρ οἷον ἀρνούμενος τὰ πολλὰ καὶ τὸ πλῆθος ἀποφάσκων ἐστίν· Ἰήιος δέ, ὡς εἷς καὶ μόνος· Φοῖβον δὲ δήπου τὸ καθαρὸν καὶ ἁγνὸν οἱ παλαιοὶ πᾶν ὠνόμαζον, ὡς ἔτι Θεσσαλοὶ τοὺς ἱερέας ἐν ταῖς ἀποφράσιν ἡμέραις αὐτοὺς ἐφ' ἑαυτῶν ἔξω διατρίβοντας, οἶμαι, φοιβονομεῖσθαι λέγουσι. τὸ δὲ ἓν εἰλικρινὲς καὶ καθαρόν· ἑτέρου γὰρ μείξει πρὸς ἕτερον ὁ μιασμός, ὥς που καὶ A 141 Ὅμηρος ἐλέφαντά τινα φοινισσόμενον βαφῇ μιαίνεσθαί φησι· καὶ τὰ μειγνύμενα τῶν χρωμάτων οἱ βαφεῖς 'φθείρεσθαι' καὶ 'φθορὰν' τὴν μεῖξιν ὀνομάζουσιν. οὐκοῦν ἕν τε εἶναι καὶ ἄκρατον ἀεὶ τῷ ἀφθάρτῳ καὶ καθαρῷ προσήκει.

9 Ἀλλά γε τῷ 'Εἶ' τὸ 'Γνῶθι σεαυτὸν' ἔοικέ πως ἀντικεῖσθαι καὶ τρόπον τινὰ πάλιν συνᾴδειν. τὸ μὲν

γὰρ ἐκπλήξει καὶ σεβασμῷ πρὸς τὸν θεὸν ὡς ὄντα διαπαντὸς ἀναπεφώνηται, τὸ δ' ὑπόμνησίς ἐστι τῷ θνητῷ τῆς περὶ αὐτὸν φύσεως καὶ ἀσθενείας.

III. Πὰν ὁ μέγας τέθνηκεν.

(Plutarch. de defectu orac. 17.)

(Heracleo, Philippus, Demetrius cum aliis personae sunt dialogi. — Subiunctum est c. 18 de insulis geniorum et heroum ad Britanniam sitis.)

Πρὸς ταῦτα τοῦ Ἡρακλέωνος σιωπῇ διανοουμένου 1
τι πρὸς αὐτὸν Φίλιππος· Ἀλλὰ φαύλους μέν', ἔφη, 'δαίμονας οὐκ Ἐμπεδοκλῆς μόνον, ὦ Ἡρακλέων, ἀπέλιπεν, ἀλλὰ καὶ Πλάτων καὶ Ξενοκράτης καὶ Χρύσιππος· ἔτι δὲ Δημόκριτος, εὐχόμενος εὐλόγχων εἰδώλων τυγχάνειν, δῆλος ἦν ἕτερα δυστράπελα καὶ μοχθηρὰς γιγνώσκων ἔχοντα προαιρέσεις τινὰς καὶ ὁρμάς. περὶ 2
δὲ θανάτου τῶν τοιούτων ἀκήκοα λόγον ἀνδρὸς οὐκ ἄφρονος οὐδ' ἀλαζόνος. Αἰμιλιανοῦ γὰρ τοῦ ῥήτορος, οὗ καὶ ὑμῶν ἔνιοι διακηκόασιν, Ἐπιθέρσης ἦν πατήρ, ἐμὸς πολίτης καὶ διδάσκαλος γραμματικῶν· οὗτος ἔφη ποτὲ πλέων εἰς Ἰταλίαν ἐπιβῆναι νεὼς ἐμπορικὰ χρήματα καὶ συχνοὺς ἐπιβάτας ἀγούσης· ἑσπέρας δὲ ἤδη περὶ τὰς Ἐχινάδας νήσους ἀποσβῆναι τὸ πνεῦμα, καὶ τὴν ναῦν διαφερομένην πλησίον γενέσθαι Παξῶν· ἐγρηγορέναι δὲ τοὺς πλείστους, πολλοὺς δὲ καὶ πίνειν ἔτι δεδειπνηκότας· ἐξαίφνης δὲ φωνὴν ἀπὸ τῆς νήσου τῶν Παξῶν ἀκουσθῆναι Θαμοῦν τινος βοῇ καλοῦντος, ὥστε θαυμάζειν. ὁ δὲ Θαμοῦς Αἰγύπτιος ἦν κυβερνήτης, οὐδὲ τῶν ἐμπλεόντων γνώριμος πολλοῖς ἀπ' ὀνόματος. δὶς μὲν οὖν κληθέντα σιωπῆσαι, τὸ δὲ τρίτον ὑπακοῦσαι τῷ καλοῦντι· κἀκεῖνον ἐπιτείναντα τὴν

φωνὴν εἰπεῖν, ὅτι "Ὅταν γένῃ κατὰ τὸ Παλῶδες,
3 *ἀπάγγειλον, ὅτι Πὰν ὁ μέγας τέθνηκε." τοῦτ' ἀκού-*
σαντας ὁ Ἐπιθέρσης ἔφη πάντας ἐκπλαγῆναι, καὶ δι-
δόντας ἑαυτοῖς λόγον, εἴτε ποιῆσαι βέλτιον εἴη τὸ
προστεταγμένον εἴτε μὴ πολυπραγμονεῖν, ἀλλ' ἐᾶν, οὕτω
γνῶναι τὸν Θαμοῦν, ἐὰν μὲν ᾖ πνεῦμα, παραπλεῖν
ἡσυχίαν ἔχοντα, νηνεμίας δὲ καὶ γαλήνης περὶ τὸν
τόπον γενομένης ἀνειπεῖν ὃ ἤκουσεν. ὡς οὖν ἐγένετο
κατὰ τὸ Παλῶδες, οὔτε πνεύματος ὄντος οὔτε κλύδω-
νος, ἐκ πρύμνης βλέποντα τὸν Θαμοῦν πρὸς τὴν γῆν
εἰπεῖν, ὥσπερ ἤκουσεν, ὅτι ὁ μέγας Πὰν τέθνηκεν.
οὐ φθῆναι δὲ παυσάμενον αὐτόν, καὶ γενέσθαι μέγαν
οὐχ ἑνός, ἀλλὰ πολλῶν στεναγμὸν ἅμα θαυμασμῷ με-
4 *μειγμένον. οἷα δὲ πολλῶν ἀνθρώπων παρόντων, ταχὺ*
τὸν λόγον ἐν Ῥώμῃ σκεδασθῆναι, καὶ τὸν Θαμοῦν
γενέσθαι μετάπεμπτον ὑπὸ Τιβερίου Καίσαρος. οὕτω
δὲ πιστεῦσαι τῷ λόγῳ τὸν Τιβέριον, ὥστε διαπυνθά-
νεσθαι καὶ ζητεῖν περὶ τοῦ Πανός· εἰκάζειν δὲ τοὺς
περὶ αὐτὸν φιλολόγους συχνοὺς ὄντας τὸν ἐξ Ἑρμοῦ
καὶ Πηνελόπης γεγεννημένον.' ὁ μὲν οὖν Φίλιππος
εἶχε καὶ τῶν παρόντων ἐνίους μάρτυρας Αἰμιλιανοῦ
τοῦ γέροντος ἀκηκοότας.

5 *Ὁ δὲ Δημήτριος ἔφη τῶν περὶ τὴν Βρεττανίαν*
νήσων εἶναι πολλὰς ἐρήμους σποράδας, ὧν ἐνίας δαι-
μόνων καὶ ἡρώων ὀνομάζεσθαι· πλεῦσαι δὲ αὐτὸς
ἱστορίας καὶ θέας ἕνεκα πομπῇ τοῦ βασιλέως εἰς τὴν
ἔγγιστα κειμένην τῶν ἐρήμων, ἔχουσαν οὐ πολλοὺς
ἐποικοῦντας, ἱεροὺς δὲ καὶ ἀσύλους πάντας ὑπὸ τῶν
Βρεττανῶν ὄντας· ἀφικομένου δ' αὐτοῦ νεωστὶ σύγ-
χυσιν μεγάλην περὶ τὸν ἀέρα καὶ διοσημείας πολλὰς
γενέσθαι καὶ πνεύματα καταρραγῆναι καὶ πεσεῖν πρη-

στῆρας. ἐπεὶ δ' ἐλώφησε, λέγειν τοὺς νησιώτας, ὅτι 6
τῶν κρεισσόνων τινὸς ἔκλειψις γέγονεν. ὡς γὰρ λύχνος ἀναπτόμενος, φάναι, δεινὸν οὐδὲν ἔχει, σβεννύμενος δὲ πολλοῖς λυπηρός ἐστιν, οὕτως αἱ μεγάλαι ψυχαὶ τὰς μὲν ἀναλάμψεις εὐμενεῖς καὶ ἀλύπους ἔχουσιν, αἱ δὲ σβέσεις αὐτῶν καὶ φθοραὶ πολλάκις μέν, ὡς νυνί, πνεύματα καὶ ζάλας τρέφουσι, πολλάκις δὲ λοιμικοῖς πάθεσι τὸν ἀέρα φαρμάττουσιν. ἐκεῖ μέντοι μίαν εἶναι νῆσον, ἐν ᾗ τὸν Κρόνον καθεῖρχθαι φρουρούμενον ὑπὸ τοῦ Βριάρεω καθεύδοντα· δεσμὸν γὰρ αὐτῷ τὸν ὕπνον μεμηχανῆσθαι, πολλοὺς δὲ περὶ αὐτὸν εἶναι δαίμονας ὀπαδοὺς καὶ θεράποντας.

IV. Athenienses quanta religione res sacras coluerint quantaque severitate in homines sacrilegos atque impios usi sint.

a. Ἡ βασίλιννα.

[Demosth.] LIX 72—83.

Ex archontibus unus (*ἄρχων βασιλεύς*) deorum cultui sacrisque praeerat, cui duo aderant administri (*πάρεδροι*). eius uxor (*βασίλιννα*), quae cum alia sacra faceret tum Anthesteriis vice sponsae Bacchi fungeretur eademque matronas nuptialium administras (*γεραραί*) sacramento adigeret, ut lege esset nupta civisque Attica, sanctum erat; quod ne neglegeretur, senatus cavebat Areopagitarum.

Collocavit autem Stephanus maritus Neaerae, eius quae oratione nostra de civitate usurpata accusatur, filiam uxoris suae spuriam Theogeni Atheniensi, cui munus regis sacrificuli sorte obvenerat.

Τὴν περιφανῶς ἐγνωσμένην ξένην εἶναι, εἰς το- 1
σοῦτον ὕβρεως καὶ ἀναιδείας ἦλθε Στέφανος οὑτοσὶ καὶ Νέαιρα αὑτηί, ὥστε μὴ ἀγαπᾶν εἰ ἔφασκον αὐτὴν ἀστὴν εἶναι, ἀλλὰ κατιδόντες Θεογένην Κοθωκίδην

*λαχόντα βασιλέα, ἄνθρωπον εὐγενῆ μέν, πένητα δὲ
καὶ ἄπειρον πραγμάτων, συμπαραγενόμενος αὐτῷ δοκι-
μαζομένῳ καὶ συνευπορήσας ἀναλωμάτων, ὅτ' εἰσῄει
εἰς τὴν ἀρχήν, Στέφανος οὑτοσί, καὶ ὑπελθὼν καὶ τὴν
ἀρχὴν παρ' αὐτοῦ πριάμενος πάρεδρος γενόμενος, δί-
δωσι τὴν ἄνθρωπον ταύτην γυναῖκα, τὴν τῆς Νεαίρας
θυγατέρα, καὶ ἐγγυᾷ Στέφανος οὑτοσὶ ὡς αὑτοῦ θυγα-
τέρα οὖσαν· οὕτω πολὺ τῶν νόμων καὶ ὑμῶν κατεφρό-
2 νησεν. καὶ αὕτη ἡ γυνὴ ὑμῖν ἔθυε τὰ ἄρρητα ἱερὰ
ὑπὲρ τῆς πόλεως καὶ εἶδεν, ἃ οὐ προσῆκεν αὐτὴν ὁρᾶν
ξένην οὖσαν, καὶ τοιαύτη οὖσα εἰσῆλθεν, οἷ οὐδεὶς
ἄλλος Ἀθηναίων τοσούτων ὄντων εἰσέρχεται, ἀλλ' ἢ ἡ
τοῦ βασιλέως γυνή, ἐξώρκωσέ τε τὰς γεραρὰς τὰς ὑπη-
ρετούσας τοῖς ἱεροῖς, ἐξεδόθη δὲ τῷ Διονύσῳ γυνή,
ἔπραξε δὲ ὑπὲρ τῆς πόλεως τὰ πάτρια τὰ πρὸς τοὺς
θεούς, πολλὰ καὶ ἅγια καὶ ἀπόρρητα. ἃ δὲ μηδ' ἀκοῦ-
σαι πᾶσιν οἷόν τ' ἐστί, πῶς ποιῆσαί γε τῇ ἐπιτυχούσῃ
εὐσεβῶς ἔχει, ἄλλως τε καὶ τοιαύτῃ γυναικί;
3 Βούλομαι δ' ὑμῖν ἀκριβέστερον περὶ αὐτῶν ἄνω-
θεν διηγήσασθαι καθ' ἕκαστον, ἵνα μᾶλλον ἐπιμέλειαν
ποιήσησθε τῆς τιμωρίας καὶ εἰδῆτε, ὅτι οὐ μόνον ὑπὲρ
ὑμῶν αὐτῶν καὶ τῶν νόμων τὴν ψῆφον οἴσετε, ἀλλὰ
καὶ τῆς πρὸς τοὺς θεοὺς εὐλαβείας, τιμωρίαν ὑπὲρ
τῶν ἠσεβημένων ποιούμενοι καὶ κολάζοντες τοὺς ἠδι-
κηκότας. τὸ γὰρ ἀρχαῖον, ὦ ἄνδρες Ἀθηναῖοι, δυναστεία
ἐν τῇ πόλει ἦν καὶ ἡ βασιλεία τῶν ἀεὶ ὑπερεχόντων
διὰ τὸ αὐτόχθονας εἶναι, τὰς δὲ θυσίας ἁπάσας ὁ βα-
σιλεὺς ἔθυε, καὶ τὰς σεμνοτάτας καὶ ἀρρήτους ἡ γυνὴ
4 αὐτοῦ ἐποίει, εἰκότως, βασίλιννα οὖσα. ἐπειδὴ δὲ Θη-
σεὺς συνῴκισεν αὐτοὺς καὶ δημοκρατίαν ἐποίησε καὶ
ἡ πόλις πολυάνθρωπος ἐγένετο, τὸν μὲν βασιλέα οὐδὲν*

*ἧττον ὁ δῆμος ᾑρεῖτο ἐκ προκρίτων κατ᾿ ἀνδραγαθίαν
χειροτονῶν, τὴν δὲ γυναῖκα αὐτοῦ νόμον ἔθεντο ἀστὴν
εἶναι καὶ μὴ ἐπιμεμειγμένην ἑτέρῳ ἀνδρί, ἀλλὰ παρ-
θένον γαμεῖν, ἵνα κατὰ τὰ πάτρια θύηται τὰ ἄρρητα
ἱερὰ ὑπὲρ τῆς πόλεως καὶ τὰ νομιζόμενα γίγνηται τοῖς
θεοῖς εὐσεβῶς καὶ μηδὲν καταλύηται μηδὲ καινοτομῆ-
ται. καὶ τοῦτον τὸν νόμον γράψαντες ἐν στήλῃ λιθίνῃ* 5
*ἔστησαν ἐν τῷ ἱερῷ τοῦ Διονύσου παρὰ τὸν βωμὸν
ἐν Λίμναις (καὶ αὕτη ἡ στήλη ἔτι καὶ νῦν ἕστηκεν,
ἀμυδροῖς γράμμασιν Ἀττικοῖς δηλοῦσα τὰ γεγραμμένα),
μαρτυρίαν ποιούμενος ὁ δῆμος ὑπὲρ τῆς αὑτοῦ εὐσε-
βείας πρὸς τὸν θεὸν καὶ παρακαταθήκην καταλείπων
τοῖς ἐπιγιγνομένοις, ὅτι τήν γε θεῷ γυναῖκα δοθησο-
μένην καὶ ποιήσουσαν τὰ ἱερὰ τοιαύτην ἀξιοῦμεν εἶναι.
καὶ διὰ ταῦτ᾿ ἐν τῷ ἀρχαιοτάτῳ ἱερῷ τοῦ Διονύσου
καὶ ἁγιωτάτῳ ἐν Λίμναις ἔστησαν, ἵνα μὴ πολλοὶ εἰ-
δῶσι τὰ γεγραμμένα· ἅπαξ γὰρ τοῦ ἐνιαυτοῦ ἑκάστου
ἀνοίγεται, τῇ δωδεκάτῃ τοῦ ἀνθεστηριῶνος μηνός.
ὑπὲρ τοίνυν ἁγίων καὶ σεμνῶν ἱερῶν, ὧν οἱ πρόγονοι* 6
*ὑμῶν οὕτω καλῶς καὶ μεγαλοπρεπῶς ἐπεμελήθησαν,
ἄξιον καὶ ὑμᾶς σπουδάσαι, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ
τοὺς ἀσελγῶς μὲν καταφρονοῦντας τῶν νόμων τῶν
ὑμετέρων, ἀναιδῶς δ᾿ ἠσεβηκότας εἰς τοὺς θεοὺς ἄξιον
τιμωρήσασθαι δυοῖν ἕνεκα, ἵνα οὗτοί τε τῶν ἠδικη-
μένων δίκην δῶσιν οἵ τ᾿ ἄλλοι πρόνοιαν ποιῶνται
καὶ φοβῶνται μηδὲν εἰς τοὺς θεοὺς καὶ τὴν πόλιν
ἁμαρτάνειν.*

Βούλομαι δ᾿ ὑμῖν καὶ τὸν ἱεροκήρυκα καλέσαι, ὃς 7
*ὑπηρετεῖ τῇ τοῦ βασιλέως γυναικί, ὅταν ἐξορκοῖ τὰς
γεραρὰς ἐν κανοῖς πρὸς τῷ βωμῷ, πρὶν ἅπτεσθαι τῶν
ἱερῶν, ἵνα καὶ τοῦ ὅρκου καὶ τῶν λεγομένων ἀκού-*

σητε, ὅσ᾽ οἷόν τ᾽ ἐστὶν ἀκούειν, καὶ εἰδῆτε ὡς σεμνὰ
καὶ ἅγια καὶ ἀρχαῖα τὰ νόμιμά ἐστιν. (Iuris iurandi verba
leguntur.)

8 *Τοῦ μὲν ὅρκου τοίνυν καὶ τῶν νομιζομένων πα-*
τρίων, ὅσ᾽ οἷόν τ᾽ ἐστὶν εἰπεῖν, ἀκηκόατε, καὶ ὡς ἣν
Στέφανος ἠγγύησε τῷ Θεογένει γυναῖκα βασιλεύοντι
ὡς αὑτοῦ οὖσαν θυγατέρα, αὕτη ἐποίει τὰ ἱερὰ ταῦτα
καὶ ἐξώρκου τὰς γεραράς, καὶ ὅτι οὐδ᾽ αὐταῖς ταῖς
δρώσαις τὰ ἱερὰ ταῦθ᾽ οἷόν τ᾽ ἐστὶ λέγειν πρὸς ἄλλον
οὐδένα. φέρε δὴ καὶ μαρτυρίαν παράσχωμαι ὑμῖν, δι᾽
ἀπορρήτου μὲν γεγενημένην, ὅμως δὲ αὐτοῖς τοῖς πε-
πραγμένοις ἐπιδείξω φανερὰν οὖσαν αὐτὴν καὶ ἀληθῆ.
9 *ὡς γὰρ ἐγένετο τὰ ἱερὰ ταῦτα καὶ ἀνέβησαν εἰς Ἄρειον*
πάγον οἱ ἐννέα ἄρχοντες ταῖς καθηκούσαις ἡμέραις,
εὐθὺς ἡ βουλὴ ἡ ἐν Ἀρείῳ πάγῳ, ὥσπερ καὶ τἆλλα
πολλοῦ ἀξία ἐστὶ τῇ πόλει περὶ εὐσέβειαν, ἐζήτει τὴν
γυναῖκα ταύτην τοῦ Θεογένους, ἥτις ἦν, καὶ ἐξήλεγχε
καὶ περὶ τῶν ἱερῶν πρόνοιαν ἐποιεῖτο καὶ ἐζημίου τὸν
Θεογένην, ὅσα κυρία ἐστίν, ἐν ἀπορρήτῳ δὲ καὶ διὰ
κοσμιότητος· οὐ γὰρ αὐτοκράτορές εἰσιν, ὡς ἂν βού-
10 *λωνται, Ἀθηναίων τινὰ κολάσαι. γενομένων δὲ λόγων*
καὶ χαλεπῶς φερούσης τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς καὶ
ζημιούσης τὸν Θεογένην, ὅτι τοιαύτην ἔλαβε γυναῖκα
καὶ ταύτην εἴασε ποιῆσαι τὰ ἱερὰ τὰ ἄρρηθ᾽ ὑπὲρ τῆς
πόλεως, ἐδεῖθ᾽ ὁ Θεογένης ἱκετεύων καὶ ἀντιβολῶν,
λέγων ὅτι οὐκ ᾔδει Νεαίρας αὐτὴν οὖσαν θυγατέρα,
ἀλλ᾽ ἐξαπατηθείη ὑπὸ Στεφάνου, ὡς αὐτοῦ θυγατέρα
οὖσαν αὐτὴν λαμβάνων γνησίαν κατὰ τὸν νόμον, καὶ
διὰ τὴν ἀπειρίαν τῶν πραγμάτων καὶ τὴν ἀκακίαν τὴν
ἑαυτοῦ τοῦτον πάρεδρον ποιήσαιτο, ἵνα διοικήσῃ τὴν
ἀρχήν, ὡς εὔνουν ὄντα, καὶ διὰ τοῦτο κηδεύσειεν

αὐτῷ. ʽὅτι δὲʼ ἔφη ʽοὐ ψεύδομαι, μεγάλῳ τεκμηρίῳ 11 καὶ περιφανεῖ ἐπιδείξω ὑμῖν· τὴν γὰρ ἄνθρωπον ἀποπέμψω ἐκ τῆς οἰκίας, ἐπειδὴ οὐκ ἔστι Στεφάνου θυγάτηρ, ἀλλὰ Νεαίρας. κἂν μὲν ταῦτα ποιήσω, ἤδη πιστοὶ ὑμῖν ἔστωσαν οἱ λόγοι οἱ παρʼ ἐμοῦ λεγόμενοι, ὅτι ἐξηπατήθην· ἐὰν δὲ μὴ ποιήσω, τότʼ ἤδη με κολάζετε ὡς πονηρὸν ὄντα καὶ εἰς τοὺς θεοὺς ἠσεβηκότα.ʼ ὑπο- 12 σχομένου δὲ ταῦτα τοῦ Θεογένους καὶ δεομένου, ἅμα μὲν καὶ ἐλεήσασʼ αὐτὸν ἡ ἐν Ἀρείῳ πάγῳ βουλὴ διὰ τὴν ἀκακίαν τοῦ τρόπου, ἅμα δὲ καὶ ἐξηπατῆσθαι τῇ ἀληθείᾳ ἡγουμένη ὑπὸ τοῦ Στεφάνου, ἐπέσχεν. ὡς δὲ κατέβη ἐξ Ἀρείου πάγου ὁ Θεογένης, εὐθὺς τήν τε ἄνθρωπον τὴν ταυτησὶ Νεαίρας θυγατέρʼ ἐκβάλλει ἐκ τῆς οἰκίας, τόν τε Στέφανον τὸν ἐξαπατήσαντʼ αὐτὸν τουτονὶ ἀπελαύνει ἀπὸ τοῦ συνεδρίου. καὶ οὕτως ἐπαύσανθʼ οἱ Ἀρεοπαγῖται κρίνοντες τὸν Θεογένην καὶ ὀργιζόμενοι αὐτῷ καὶ συγγνώμην εἶχον ἐξαπατηθέντι.

b. Homines impii civitate arcendi sunt.

[Lys.] VI 4—20.

Andocides orator cum anno a. Chr. 415 in periculum hermocopidarum implicatus se suosque propinquos indicio suo liberasset, nihilo minus decreto Isotimidis, quo omnibus qui in religionem peccassent, sacris foroque interdictum erat, e patria expulsus anno 402 Athenas revertit, sed a. 399 a Cephisio, Epichare, Meleto in ius postulatus est, quod contra decretum illud mysteriis interfuisset (cf. fasc. IV 26). primas accusatoris partes Cephisius egit; ex deuterologia Meleti vel Epicharis noster locus sumptus est. — ad § 11 cf. Diod. XIII 6: (anno 415) *Διαγόρας ὁ κληθεὶς ἄθεος διαβολῆς τυχὼν ἐπʼ ἀσεβείᾳ καὶ φοβηθεὶς τὸν δῆμον ἔφυγεν ἐκ τῆς Ἀττικῆς· οἱ δʼ Ἀθηναῖοι τῷ ἀνελόντι Διαγόραν ἀργυρίου τάλαντον ἐπεκήρυξαν.*

Φέρε, ἂν νυνὶ Ἀνδοκίδης ἀθῷος ἀπαλλαγῇ διʼ 1 ἡμᾶς ἐκ τοῦδε τοῦ ἀγῶνος καὶ ἔλθῃ κληρωσόμενος τῶν

ἐννέα ἀρχόντων καὶ λάχῃ βασιλεύς, ἄλλο τι ἢ ὑπὲρ
ἡμῶν καὶ θυσίας θύσει καὶ εὐχὰς εὔξεται κατὰ τὰ
πάτρια, τὰ μὲν ἐν τῷ ἐνθάδ' Ἐλευσινίῳ, τὰ δ' ἐν τῷ
Ἐλευσῖνι ἱερῷ, καὶ τῆς ἑορτῆς ἐπιμελήσεται μυστηρίοις,
2 ὅπως ἂν μηδεὶς ἀδικῇ μηδ' ἀσεβῇ περὶ τὰ ἱερά; καὶ
τίνα γνώμην οἴεσθε ἕξειν τοὺς μύστας τοὺς ἀφικνου-
μένους, ἐπειδὰν ἴδωσι τὸν βασιλέα ὅστις ἐστὶ καὶ ἀνα-
μνησθῶσι πάντα τὰ ἠσεβημέν' αὐτῷ, ἢ τοὺς ἄλλους
Ἕλληνας, οἳ ἕνεκα ταύτης τῆς ἑορτῆς ἥξουσιν ἢ θύειν
3 εἰς ταύτην τὴν πανήγυριν βουλόμενοι ἢ θεωρεῖν; οὐδὲ
γὰρ ἀγνὼς ὁ Ἀνδοκίδης οὔτε τοῖς ἔξω οὔτε τοῖς ἐν-
θάδε διὰ τὰ ἠσεβημένα. ἀναγκαίως γὰρ ἔχει ἀπὸ τῶν
πολὺ διαφερόντων ἢ κακῶν ἢ ἀγαθῶν ἔργων τοὺς
ποιήσαντας γιγνώσκεσθαι. ὥστε μὰ τὸν Δί' οὐ ῥᾴδιόν
ἐστιν ὑμῖν οὐδὲν χαρισαμένοις αὐτῷ παρὰ τὸ δίκαιον
4 λαθεῖν τοὺς Ἕλληνας. νῦν οὖν ὑμῖν ἐν ἀνάγκῃ ἐστὶ
βουλεύσασθαι περὶ αὐτοῦ. εὖ γὰρ ἐπίστασθε, ὦ ἄν-
δρες Ἀθηναῖοι, ὅτι οὐχ οἷόν θ' ὑμῖν ἐστιν ἅμα τοῖς
τε νόμοις τοῖς πατρίοις καὶ Ἀνδοκίδῃ χρῆσθαι, ἀλλὰ
δυοῖν θάτερον, ἢ τοὺς νόμους ἐξαλειπτέον ἐστὶν ἢ
ἀπαλλακτέον τοῦ ἀνδρός.

5 Εἰς τοσοῦτον δὲ τόλμης ἀφῖκται, ὥστε καὶ λέγει
περὶ τοῦ νόμου, ὡς καθῄρηται ὁ περὶ αὐτοῦ κείμενος
καὶ ἔξεστιν αὐτῷ ἤδη εἰσιέναι εἰς τὴν ἀγορὰν καὶ εἰς
τὰ ἱερά. καίτοι Περικλέα ποτέ φασι παραινέσαι ὑμῖν
περὶ τῶν ἀσεβούντων, μὴ μόνον χρῆσθαι τοῖς γεγραμ-
μένοις περὶ αὐτῶν, ἀλλὰ καὶ τοῖς ἀγράφοις, καθ' οὓς
Εὐμολπίδαι ἐξηγοῦνται, οὓς οὐδείς πω κύριος ἐγένετο
καθελεῖν οὐδ' ἐτόλμησεν ἀντειπεῖν, οὐδ' αὐτὸν τὸν
θέντ' ἴσασιν· ἡγεῖσθαι γὰρ ἂν αὐτοὺς οὕτως οὐ μόνον
τοῖς ἀνθρώποις ἀλλὰ καὶ τοῖς θεοῖς διδόναι δίκην.

Ἀνδοκίδης δὲ τοσοῦτον καταπεφρόνηκε τῶν θεῶν καὶ 6
ὧν ἐκείνοις δεῖ τιμωρεῖν, ὥστε πρὶν ἢ ἐπιδεδημηκέναι
δέκα ἡμέρας ἐν τῇ πόλει προσεκαλέσατο δίκην ἀσεβείας
πρὸς τὸν βασιλέα, καὶ ἔλαχε καίπερ πεποιηκώς, ἃ οὗ-
τος πεποίηκε περὶ τοὺς θεούς, καὶ ἵνα μᾶλλον πρόσ-
σχητε τὸν νοῦν, φάσκων τὸν Ἄρχιππον ἀσεβεῖν περὶ
τὸν Ἑρμῆν τὸν αὑτοῦ πατρῷον. ὁ δ' Ἄρχιππος ἠντι- 7
δίκει· ἦ μὴν τὸν Ἑρμῆν ὑγιᾶ τε καὶ ὅλον εἶναι καὶ
μηδὲν παθεῖν ὧνπερ οἱ ἄλλοι Ἑρμαῖ· ὅμως μέντοι ἵνα
μὴ ὑπὸ τούτου τοιούτου ὄντος πράγματ' ἔχοι, δοὺς
ἀργύριον ἀπηλλάγη. καίτοι ὁπόθ' οὗτος παρ' ἑτέρου
ἠξίωσε δίκην ἀσεβείας λαβεῖν, ἦ που ἑτέρους γε παρὰ
τούτου λαβεῖν δίκαιον καὶ εὐσεβές ἐστιν.

Ἀλλὰ λέξει δεινὸν εἶναι, εἰ ὁ μὲν μηνυτὴς τὰ ἔσχατα 8
πείσεται, οἱ δὲ μηνυθέντες τῶν αὐτῶν ὑμῖν ἐπίτιμοι
ὄντες μεθέξουσι. καίτοι οὐχ ὑπὲρ αὑτοῦ ἀπολογήσεται,
ἀλλὰ καὶ τῶν ἄλλων κατηγορήσει. τοὺς μὲν οὖν ἄλλους
οἱ ἐπιτάξαντες καταδέξασθαι ἀδικοῦσι, καὶ τοῦ αὐτοῦ
ἀσεβήματος αἴτιοί εἰσιν. ὑμεῖς οὖν μὴ βούλεσθ' εἰς
ὑμᾶς τὴν αἰτίαν ταύτην περιτρέψαι, ἐξὸν τὸν ἀδικοῦντα
κολάσασιν ἀπηλλάχθαι. ἔπειτα δ' ἐκεῖνοι μὲν ἀρνοῦνται 9
τὰ μεμηνυμένα, οὗτος δ' ὁμολογεῖ ποιῆσαι. καίτοι καὶ
ἐν Ἀρείῳ πάγῳ, ἐν τῷ σεμνοτάτῳ καὶ δικαιοτάτῳ δι-
καστηρίῳ, ὁμολογῶν μὲν ἀδικεῖν ἀποθνήσκει, ἐὰν δὲ
ἀμφισβητῇ, ἐλέγχεται καὶ ἀπολύεται οὐδὲν δόξας ἀδι-
κεῖν. οὔκουν ὁμοίαν χρὴ γνώμην ἔχειν περί τε τῶν
ἀρνουμένων καὶ περὶ τῶν ὁμολογούντων. δεινὸν δέ 10
μοι δοκεῖ εἶναι· ἂν μέν τις ἀνδρὸς σῶμα τρώσῃ, κε-
φαλὴν ἢ πρόσωπον ἢ χεῖρας ἢ πόδας, αὐτὸς μὲν κατὰ
τοὺς νόμους φεύξεται τὴν τοῦ ἀδικηθέντος πόλιν, καὶ
ἐὰν κατίῃ, ἐνδειχθεὶς θανάτῳ ζημιωθήσεται· ἐὰν δέ

τις ταὐτὰ ταῦτ' ἀδικήσῃ τὰ ἀγάλματα τῶν θεῶν, οὐδ'
αὐτῶν κωλύσετε τῶν ἱερῶν ἐπιβαίνειν ἢ εἰσιόντα τιμω-
ρήσεσθε; καὶ μὲν δὴ τούτων καὶ δίκαιον καὶ ἀγαθόν
ἐστιν ἐπιμελεῖσθαι, ὑφ' ὧν καὶ εὖ καὶ κακῶς δυνήσεσθε
11 πάσχειν. φασὶ δὲ καὶ τῶν Ἑλλήνων πολλοὺς διὰ τὰ
ἐνθάδ' ἀσεβήματ' ἐκ τῶν παρ' αὐτοῖς ἱερῶν ἐξείργειν.
ὑμεῖς δ' αὐτοὶ οἱ ἀδικηθέντες περὶ ἐλάττονος ποιεῖσθε
τὰ παρ' ὑμῖν νόμιμα ἢ ἕτεροι τὰ ὑμέτερα. τοσοῦτο δ'
οὗτος Διαγόρου τοῦ Μηλίου ἀσεβέστερος γεγένηται·
ἐκεῖνος μὲν γὰρ λόγῳ περὶ τὰ ἀλλότρι' ἱερὰ καὶ ἑορ-
τὰς ἠσέβει, οὗτος δὲ ἔργῳ περὶ τὰ ἐν τῇ αὑτοῦ πόλει.
ὀργίζεσθαι οὖν χρή, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἀστοῖς
ἀδικοῦσι μᾶλλον ἢ τοῖς ξένοις περὶ ταῦτα τὰ ἱερά· τὸ
μὲν γὰρ ὥσπερ ἀλλότριόν ἐστιν ἁμάρτημα, τὸ δ' οἰ-
12 κεῖον. καὶ μὴ οὓς μὲν ἔχετ' ἀδικοῦντας ἀφίετε, τοὺς
δὲ φεύγοντας ζητεῖτε συλλαμβάνειν, ἐπικηρύττοντες
τάλαντον ἀργυρίου δώσειν τῷ ἀπάγοντι ἢ ἀποκτείναντι.
εἰ δὲ μή, δόξετε τοῖς Ἕλλησι κομπάζειν μᾶλλον ἢ τι-
13 μωρεῖσθαι βούλεσθαι. ἐπεδείξατο δὲ καὶ τοῖς Ἕλλησιν,
ὅτι θεοὺς οὐ νομίζει. οὐ γὰρ ὡς δεδιὼς τὰ πεποιη-
μένα, ἀλλ' ὡς θαρρῶν, ναυκληρίᾳ ἐπιθέμενος τὴν θά-
λατταν ἔπλει. ὁ δὲ θεὸς ὑπῆγεν αὐτόν, ἵν' ἀφικόμενος
εἰς τὰ ἁμαρτήματα ἐπὶ τῇ ἐμῇ προφάσει δοίη δίκην.
14 ἐλπίζω μὲν οὖν αὐτὸν καὶ δώσειν δίκην, θαυμάσιον
δ' οὐδὲν ἄν μοι γένοιτο. οὐδὲ γὰρ ὁ θεὸς παραχρῆμα
κολάζει, ἀλλ' αὕτη μέν ἐστιν ἀνθρωπίνη δίκη. πολ-
λαχόθεν δὲ ἔχω τεκμαιρόμενος εἰκάζειν, ὁρῶν καὶ ἑτέ-
ρους ἠσεβηκότας χρόνῳ δεδωκότας δίκην καὶ τοὺς ἐξ
ἐκείνων διὰ τὰ τῶν προγόνων ἁμαρτήματα. ἐν δὲ
τούτῳ τῷ χρόνῳ δέη πολλὰ καὶ κινδύνους ὁ θεὸς ἐπι-
πέμπει τοῖς ἀδικοῦσιν, ὥστε πολλοὺς ἤδη ἐπιθυμῆσαι

τελευτήσαντας τῶν κακῶν ἀπηλλάχθαι. ὁ δὲ θεὸς τέλος τούτων λυμηνάμενος τῷ βίῳ θάνατον ἐπέθηκε.

c. Severitatis iudicum Atheniensium exempla.

(Demosth. XXI 175—183.)

Probole (*προβολή, προβάλλεσθαι*) erat ea actionis forma, qua de causa, priusquam ad iudices veniret, a populo praeiudicium quoddam (*καταχειροτονεῖν*) petebatur; adhibebatur autem imprimis de delictis inter sacra ac festa commissis. ita Demosthenes Midiam per probolen postulavit, quod choregus Dionysiis anni Ol. 107, 2 (a. Chr. 350) ab eo verberatus erat.

Βούλομαι τοίνυν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ 1
ὅσων ἤδη καταχειροτονήσαντος τοῦ δήμου περὶ τὴν ἑορτὴν ἀδικεῖν ὑμεῖς κατεγνώκατ', εἰπεῖν καὶ δεῖξαι, τί πεποιηκότες αὐτῶν ἔνιοι τίνος ὀργῆς τετυχήκασι παρ' ὑμῶν, ἵνα ταῦτα πρὸς τὰ τούτῳ πεπραγμέν' ἀντιθῆτε. πρῶτον μὲν τοίνυν, ἵνα πρώτης τῆς τελευταίας γεγονυίας μνησθῶ καταγνώσεως, περὶ τὰ μυστήρι' ἀδικεῖν Εὐάνδρου κατεχειροτόνησεν ὁ δῆμος τοῦ Θεσπιῶς, προβαλλομένου Μενίππου, Καρός τινος ἀνθρώπου. ἔστι δ' ὁ αὐτὸς νόμος τῷδε τῷ περὶ τῶν Διονυσίων ὁ περὶ τῶν μυστηρίων, κἀκεῖνος ὕστερος
τοῦδ' ἐτέθη. τί οὖν ποιήσαντος, ὦ ἄνδρες Ἀθηναῖοι, 2
κατεχειροτονήσατε τοῦ Εὐάνδρου, τοῦτ' ἀκούσατε. ὅτι δίκην ἐμπορικὴν καταδικασάμενος τοῦ Μενίππου, οὐκ ἔχων πρότερον λαβεῖν αὐτόν, ὡς ἔφη, τοῖς μυστηρίοις ἐπιδημοῦντος ἐπελάβετο. κατεχειροτονήσατε μὲν διὰ ταῦτα, καὶ οὐδ' ὁτιοῦν ἄλλο προσῆν, εἰσελθόντα δ' εἰς τὸ δικαστήριον ἠβούλεσθε μὲν θανάτῳ ζημιῶσαι, τοῦ δὲ προβαλλομένου πεισθέντος τήν δίκην τε πᾶσαν ἀφεῖναι ἠναγκάσατ' αὐτόν, ἣν ᾑρήκει πρότερον (ἦν δὲ δυοῖν αὕτη ταλάντοιν), καὶ προσετιμήσατε τὰς βλάβας,

ὡς ἐπὶ τῇ χειροτονίᾳ μένων ἐλογίζεθ' ἑαυτῷ γεγε-
3 νῆσθαι πρὸς ὑμᾶς ἄνθρωπος. εἷς μὲν οὗτος ἐξ ἰδίου
πράγματος, οὐδεμιᾶς ὕβρεως προσούσης, ὑπὲρ αὐτοῦ
τοῦ παραβῆναι τὸν νόμον τοσαύτην ἔδωκε δίκην. εἰ-
κότως· τοῦτο γάρ ἐσθ' ὃ φυλάττειν ὑμᾶς δεῖ, τοὺς
νόμους, τὸν ὅρκον· ταῦτ' ἔχεθ' ὑμεῖς οἱ δικάζοντες
ἀεὶ παρὰ τῶν ἄλλων ὡσπερεὶ παρακαταθήκην, ἣν ἅπα-
σιν, ὅσοι μετὰ τοῦ δικαίου πρὸς ὑμᾶς ἔρχονται, σῶν
4 ὑπάρχειν δεῖ. ἕτερος ἀδικεῖν ποτ' ἔδοξεν ὑμῖν περὶ
τὰ Διονύσια, καὶ κατεχειροτονήσατ' αὐτοῦ παρεδρεύ-
οντος ἄρχοντι τῷ υἱεῖ, ὅτι θέαν τινὸς καταλαμβάνον-
τος ἥψατ', ἐξείργων ἐκ τοῦ θεάτρου· ἦν δ' οὗτος ὁ
5 τοῦ βελτίστου πατὴρ Χαρικλείδου, τοῦ ἄρξαντος. καὶ
Ol. 104,2 a. Chr. 363/2 μέγα γ' ὑμῖν τοῦτ' ἐδόκει δίκαιον ἔχειν ὁ προβαλλό-
μενος λέγειν· 'εἰ κατελάμβανον, ἄνθρωπε, θέαν, εἰ μὴ
τοῖς κηρύγμασιν, ὡς σύ με φῄς, ἐπειθόμην, τίνος ἐκ
τῶν νόμων εἶ κύριος καὶ ὁ ἄρχων αὐτός; τοῖς ὑπηρέ-
ταις ἐξείργειν εἰπεῖν, οὐκ αὐτὸς τύπτειν. οὐδ' οὕτω
πείθομαι· ἐπιβολὴν ἐπιβαλεῖν, πάντα πλὴν αὐτὸς ἅψα-
σθαι τῇ χειρί· πολλὰ γὰρ πρὸ τοῦ μὴ τὸ σῶμ' ἕκα-
στον ὑβρίζεσθαι πεποιήκασιν οἱ νόμοι.' ταῦτ' ἔλεγε
μὲν ἐκεῖνος, ἐχειροτονήσατε δ' ὑμεῖς· οὐ μὴν εἰσῆλθεν
εἰς τὸ δικαστήριον οὗτος, ἀλλ' ἐτελεύτησε πρότερον.
6 ἑτέρου τοίνυν ὅ τε δῆμος ἅπας κατεχειροτόνησεν ἀδι-
κεῖν περὶ τὴν ἑορτήν, καὶ ὑμεῖς εἰσελθόντ' ἀπεκτείνατε
τοῦτον, Κτησικλέα, ὅτι σκῦτος ἔχων ἐπόμπευε, καὶ
τούτῳ μεθύων ἐπάταξέ τιν' ἐχθρὸν ὑπάρχονθ' αὑτῷ·
ἐδόκει γὰρ ὕβρει καὶ οὐκ οἴνῳ τύπτειν, ἀλλὰ τὴν ἐπὶ
τῆς πομπῆς καὶ τοῦ μεθύειν πρόφασιν λαβὼν ἀδικεῖν
7 ὡς δούλοις χρώμενος τοῖς ἐλευθέροις. ἁπάντων τοίνυν,
ὦ ἄνδρες Ἀθηναῖοι, τούτων, ὧν ὁ μὲν ὧν εἷλεν ἀπο-

στάς [§ 2], ὁ δὲ καὶ θανάτῳ ζημιωθεὶς φαίνεται, πολλῷ δεινότερ' εὖ οἶδ' ὅτι πάντες ἂν εἶναι φήσειαν τὰ Μειδίᾳ πεπραγμένα· οὔτε γὰρ πομπεύων οὔτε δίκην ᾑρηκὼς οὔτε παρεδρεύων οὔτ' ἄλλην σκῆψιν ἔχων οὐδεμίαν πλὴν ὕβριν τοιαῦτα πεποίηκεν οἷ' οὐδεὶς ἐκείνων. καὶ τούτους μὲν ἐάσω. ἀλλὰ Πύρρον, ὦ ἄνδρες Ἀθη- 8
ναῖοι, τὸν Ἐτεοβουτάδην, ἐνδειχθέντα δικάζειν ὀφείλοντα τῷ δημοσίῳ, θανάτῳ ζημιῶσαί τινες ᾤοντο χρῆναι, καὶ τέθνηκεν ἁλοὺς παρ' ὑμῖν· καίτοι τοῦτο τὸ λῆμμα δι' ἔνδειαν, οὐ δι' ὕβριν λαμβάνειν ἐπεχείρησεν ἐκεῖνος. καὶ πολλοὺς ἂν ἑτέρους ἔχοιμι λέγειν, ὧν οἱ μὲν τεθνᾶσιν, οἱ δ' ἠτιμωμένοι διὰ πολλῷ τούτων εἰσὶν ἐλάττω πράγματα. ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Σμίκρῳ δέκα ταλάντων ἐτιμήσατε καὶ Σκίτωνι τοσούτων ἑτέρων, δόξασι παράνομα γράφειν, καὶ οὔτε παιδία οὔτε φίλους οὔτε συγγενεῖς οὐδ' ὁντινοῦν ἠλεήσατε τῶν παρόντων ἐκείνοις. μὴ τοίνυν, ἂν μὲν 9
εἴπῃ τις παράνομ', οὕτως ὀργιζόμενοι φαίνεσθε, ἐὰν δὲ ποιῇ, μὴ λέγῃ, πρᾴως διάκεισθε. οὐδὲν γὰρ ῥῆμ' οὐδ' ὄνομ' οὕτως ἐστὶ τοῖς πολλοῖς ὑμῶν χαλεπόν, ὡς ὅσ' ὑβρίζων τις τὸν ἐντυχόνθ' ὑμῶν διαπράττεται. μὴ τοίνυν αὐτοὶ καθ' ὑμῶν αὐτῶν δεῖγμα τοιοῦτον ἐξενέγκητ', ὦ ἄνδρες Ἀθηναῖοι, ὡς ἄρ' ὑμεῖς, ἂν μὲν τῶν μετρίων τινὰ καὶ δημοτικῶν λάβηθ' ὁτιοῦν ἀδικοῦντα, οὔτ' ἐλεήσετ' οὔτ' ἀφήσετ', ἀλλ' ἀποκτενεῖτ' ἢ ἀτιμώσετε, ἂν δὲ πλούσιος ὤν τις ὑβρίζῃ, συγγνώμην ἕξετε. μὴ δῆτ'· οὐ γὰρ δίκαιον· ἀλλ' ἐπὶ πάντων ὁμοίως ὀργιζόμενοι φαίνεσθε.

d. Criminis ἀσεβείας (de sacro oleae trunco) refutatio.

(Lys. VII 4—29.)

Is qui causam dicit a Nicomacho calumniatore quodam adulescentulo ad Areopagum *ἀσεβείας* postulatus est, quod in fundo suo oleam publicam sacramque (*μορία*) vel eius truncum saepto munitum (*σηκός*) effodisset. fundum illum antea possederat Pisander, is qui cum Phrynicho aliisque Ol. 92, 1 (411) rei publicae formam mutavit. cuius bona Phrynicho ab Apollodoro interfecto pristinoque rei publicae statu renovato publicata sunt.

1 *Ἦν μὲν τοῦτο Πεισάνδρου τὸ χωρίον, δημευθέν-*
των δὲ τῶν ἐκείνου Ἀπολλόδωρος ὁ Μεγαρεὺς δω-
ρειὰν παρὰ τοῦ δήμου λαβὼν τὸν μὲν ἄλλον χρόνον
ἐγεώργει, ὀλίγῳ δὲ πρὸ τῶν τριάκοντα Ἀντικλῆς παρ'
αὐτοῦ πριάμενος ἐξεμίσθωσεν· ἐγὼ δὲ παρ' Ἀντικλέους
2 *εἰρήνης οὔσης ἐωνούμην. ἡγοῦμαι τοίνυν, ὦ βουλή,*
ἐμὸν ἔργον ἀποδεῖξαι, ὡς, ἐπειδὴ τὸ χωρίον ἐκτησάμην,
οὔτ' ἐλάα οὔτε σηκὸς ἐνῆν ἐν αὐτῷ. νομίζω γὰρ τοῦ
μὲν προτέρου χρόνου, οὐδ' εἰ πάλαι ἐνῆσαν μορίαι,
οὐκ ἂν δικαίως ζημιοῦσθαι· εἰ γὰρ μὴ δι' ἡμᾶς εἰσιν
ἠφανισμέναι, οὐδὲν προσήκει περὶ τῶν ἀλλοτρίων
3 *ἁμαρτημάτων ὡς ἀδικοῦντας κινδυνεύειν. πάντες γὰρ*
ἐπίστασθε, ὅτι ὁ πόλεμος καὶ ἄλλων πολλῶν αἴτιος
κακῶν γεγένηται καὶ τὰ μὲν πόρρω ὑπὸ Λακεδαιμο-
νίων ἐτέμνετο, τὰ δ' ἐγγὺς ὑπὸ τῶν φίλων διηρπάζετο·
ὥστε πῶς ἂν δικαίως ὑπὲρ τῶν τῇ πόλει γεγενημένων
συμφορῶν ἐγὼ νυνὶ δίκην διδοίην; ἄλλως τε καὶ ὅτι
τὸ χωρίον ἐν τῷ πολέμῳ δημευθὲν ἄπρακτον ἦν πλεῖν
4 *ἢ τρί' ἔτη. οὐ θαυμαστὸν δ' εἰ τότε τὰς μορίας ἐξ-*
έκοπτον, ἐν ᾧ οὐδὲ τὰ ἡμέτερ' αὐτῶν φυλάττειν ἠδυ-
νάμεθα. ἐπίστασθε δέ, ὦ βουλή, ὅσοι μάλιστα τῶν
τοιούτων ἐπιμελεῖσθε, πόλλ' ἐν ἐκείνῳ τῷ χρόνῳ δασέ'

*ὄντα ἰδίαις καὶ μορίαις ἐλάαις, ὧν νῦν τὰ πόλλ' ἐκ-
κέκοπται καὶ ἡ γῆ ψιλὴ γεγένηται· καὶ τῶν αὐτῶν καὶ
ἐν τῇ εἰρήνῃ καὶ ἐν τῷ πολέμῳ κεκτημένων οὐκ ἀξι-
οῦτε παρ' αὐτῶν, ἑτέρων ἐκκοψάντων, δίκην λαμβάνειν.
καίτοι εἰ τοὺς διὰ παντὸς τοῦ χρόνου γεωργοῦντας* 5
*τῆς αἰτίας ἀφίετε, ἦ που χρὴ τούς γ' ἐν τῇ εἰρήνῃ
πριαμένους ἀφ' ὑμῶν ἀζημίους γενέσθαι.*

*Ἀλλὰ γάρ, ὦ βουλή, περὶ μὲν τῶν πρότερον γεγε-
νημένων πόλλ' ἔχων εἰπεῖν ἱκανὰ νομίζω τὰ εἰρημένα·
ἐπειδὴ δ' ἐγὼ παρέλαβον τὸ χωρίον, πρὶν ἡμέρας πέντε* Ol. 94, 1
γενέσθαι, ἀπεμίσθωσα Καλλιστράτῳ, ἐπὶ Πυθοδώρου a. Chr. 404/3
ἄρχοντος· ὃς δύ' ἔτη ἐγεώργησεν, οὔτ' ἰδίαν ἐλάαν 6
*οὔτε μορίαν οὔτε σηκὸν παραλαβών. τρίτῳ δ' ἔτει
Δημήτριος οὑτοσὶ εἰργάσατο· τῷ δὲ τετάρτῳ Ἀλκίᾳ
Ἀντισθένους ἀπελευθέρῳ ἐμίσθωσα, ὃς τέθνηκε· μετὰ
ταῦτα τρί' ἔτη ὁμοίως καὶ Πρωτέας ἐμισθώσατο. Καί
μοι δεῦρ' ἴτε μάρτυρες.* (Testimonia leguntur.)

Ἐπειδὴ τοίνυν ὁ χρόνος οὗτος ἐξήκει, αὐτὸς γεωργῶ. 7
φησὶ δ' ὁ κατήγορος ἐπὶ Σουνιάδου ἄρχοντος σηκὸν Ol. 95, 3 a. Chr. 397/6
*ὑπ' ἐμοῦ ἐκκεκόφθαι. ὑμῖν δὲ μεμαρτυρήκασιν οἱ πρό-
τερον ἐργαζόμενοι καὶ πόλλ' ἔτη παρ' ἐμοῦ μεμισθω-
μένοι μὴ εἶναι σηκὸν ἐν τῷ χωρίῳ. καίτοι πῶς ἂν
τις φανερωτέρως ἐξελέγξειε ψευδόμενον τὸν κατήγορον;
οὐ γὰρ οἷόν θ', ἃ πρότερον μὴ ἦν, ταῦτα τὸν ὕστερον
ἐργαζόμενον ἀφανίζειν.*

Ἐγὼ τοίνυν, ὦ βουλή, ἐν μὲν τῷ τέως χρόνῳ, ὅσοι 8
*με φάσκοιεν δεινὸν εἶναι καὶ ἀκριβῆ καὶ οὐδὲν ἂν εἰκῇ
καὶ ἀλογίστως ποιῆσαι, ἠγανάκτουν ἄν, ἡγούμενος μᾶλ-
λον εὐλογεῖσθαι ἢ ὥς μοι προσῆκε· νῦν δὲ πάντας ἂν
ὑμᾶς βουλοίμην περὶ ἐμοῦ ταύτην τὴν γνώμην ἔχειν,
ἵν' ἡγῆσθέ με σκοπεῖν ἄν, εἴπερ τοιούτοις ἔργοις ἐπε-*

d. Criminis ἀσεβείας (de sacro oleae trunco) refutatio.

(Lys. VII 4—29.)

Is qui causam dicit a Nicomacho calumniatore quodam adulescentulo ad Areopagum *ἀσεβείας* postulatus est, quod in fundo suo oleam publicam sacramque (*μορία*) vel eius truncum saepto munitum (*σηκός*) effodisset. fundum illum antea possederat Pisander, is qui cum Phrynicho aliisque Ol. 92, 1 (411) rei publicae formam mutavit. cuius bona Phrynicho ab Apollodoro interfecto pristinoque rei publicae statu renovato publicata sunt.

1 *Ἦν μὲν τοῦτο Πεισάνδρου τὸ χωρίον, δημευθέν-*
των δὲ τῶν ἐκείνου Ἀπολλόδωρος ὁ Μεγαρεὺς δω-
ρειὰν παρὰ τοῦ δήμου λαβὼν τὸν μὲν ἄλλον χρόνον
ἐγεώργει, ὀλίγῳ δὲ πρὸ τῶν τριάκοντα Ἀντικλῆς παρ'
αὐτοῦ πριάμενος ἐξεμίσθωσεν· ἐγὼ δὲ παρ' Ἀντικλέους
2 *εἰρήνης οὔσης ἐωνούμην. ἡγοῦμαι τοίνυν, ὦ βουλή,*
ἐμὸν ἔργον ἀποδεῖξαι, ὡς, ἐπειδὴ τὸ χωρίον ἐκτησάμην,
οὔτ' ἐλάα οὔτε σηκὸς ἐνῆν ἐν αὐτῷ. νομίζω γὰρ τοῦ
μὲν προτέρου χρόνου, οὐδ' εἰ πάλαι ἐνῆσαν μορίαι,
οὐκ ἂν δικαίως ζημιοῦσθαι· εἰ γὰρ μὴ δι' ἡμᾶς εἰσιν
ἠφανισμέναι, οὐδὲν προσήκει περὶ τῶν ἀλλοτρίων
3 *ἁμαρτημάτων ὡς ἀδικοῦντας κινδυνεύειν. πάντες γὰρ*
ἐπίστασθε, ὅτι ὁ πόλεμος καὶ ἄλλων πολλῶν αἴτιος
κακῶν γεγένηται καὶ τὰ μὲν πόρρω ὑπὸ Λακεδαιμο-
νίων ἐτέμνετο, τὰ δ' ἐγγὺς ὑπὸ τῶν φίλων διηρπάζετο·
ὥστε πῶς ἂν δικαίως ὑπὲρ τῶν τῇ πόλει γεγενημένων
συμφορῶν ἐγὼ νυνὶ δίκην διδοίην; ἄλλως τε καὶ ὅτι
τὸ χωρίον ἐν τῷ πολέμῳ δημευθὲν ἄπρακτον ἦν πλεῖν
4 *ἢ τρί' ἔτη. οὐ θαυμαστὸν δ' εἰ τότε τὰς μορίας ἐξ-*
έκοπτον, ἐν ᾧ οὐδὲ τὰ ἡμέτερ' αὐτῶν φυλάττειν ἠδυ-
νάμεθα. ἐπίστασθε δέ, ὦ βουλή, ὅσοι μάλιστα τῶν
τοιούτων ἐπιμελεῖσθε, πόλλ' ἐν ἐκείνῳ τῷ χρόνῳ δασέ

ὄντα ἰδίαις καὶ μορίαις ἐλάαις, ὧν νῦν τὰ πόλλ' ἐκ-
κέκοπται καὶ ἡ γῆ ψιλὴ γεγένηται· καὶ τῶν αὐτῶν καὶ
ἐν τῇ εἰρήνῃ καὶ ἐν τῷ πολέμῳ κεκτημένων οὐκ ἀξι-
οῦτε παρ' αὐτῶν, ἑτέρων ἐκκοψάντων, δίκην λαμβάνειν.
καίτοι εἰ τοὺς διὰ παντὸς τοῦ χρόνου γεωργοῦντας 5
τῆς αἰτίας ἀφίετε, ἦ που χρὴ τούς γ' ἐν τῇ εἰρήνῃ
πριαμένους ἀφ' ὑμῶν ἀζημίους γενέσθαι.

Ἀλλὰ γάρ, ὦ βουλή, περὶ μὲν τῶν πρότερον γεγε-
νημένων πόλλ' ἔχων εἰπεῖν ἱκανὰ νομίζω τὰ εἰρημένα·
ἐπειδὴ δ' ἐγὼ παρέλαβον τὸ χωρίον, πρὶν ἡμέρας πέντε Ol. 94, 1
γενέσθαι, ἀπεμίσθωσα Καλλιστράτῳ, ἐπὶ Πυθοδώρου a. Chr. 404/3
ἄρχοντος· ὃς δύ' ἔτη ἐγεώργησεν, οὔτ' ἰδίαν ἐλάαν 6
οὔτε μορίαν οὔτε σηκὸν παραλαβών. τρίτῳ δ' ἔτει
Δημήτριος οὑτοσὶ εἰργάσατο· τῷ δὲ τετάρτῳ Ἀλκίᾳ
Ἀντισθένους ἀπελευθέρῳ ἐμίσθωσα, ὃς τέθνηκε· μετὰ
ταῦτα τρί' ἔτη ὁμοίως καὶ Πρωτέας ἐμισθώσατο. Καί
μοι δεῦρ' ἴτε μάρτυρες. (Testimonia leguntur.)

Ἐπειδὴ τοίνυν ὁ χρόνος οὗτος ἐξήκει, αὐτὸς γεωργῶ. 7
φησὶ δ' ὁ κατήγορος ἐπὶ Σουνιάδου ἄρχοντος σηκὸν Ol. 95, 3 a. Chr.
ὑπ' ἐμοῦ ἐκκεκόφθαι. ὑμῖν δὲ μεμαρτυρήκασιν οἱ πρό- 397/6
τερον ἐργαζόμενοι καὶ πόλλ' ἔτη παρ' ἐμοῦ μεμισθω-
μένοι μὴ εἶναι σηκὸν ἐν τῷ χωρίῳ. καίτοι πῶς ἂν
τις φανερωτέρως ἐξελέγξειε ψευδόμενον τὸν κατήγορον;
οὐ γὰρ οἷόν θ', ἃ πρότερον μὴ ἦν, ταῦτα τὸν ὕστερον
ἐργαζόμενον ἀφανίζειν.

Ἐγὼ τοίνυν, ὦ βουλή, ἐν μὲν τῷ τέως χρόνῳ, ὅσοι 8
με φάσκοιεν δεινὸν εἶναι καὶ ἀκριβῆ καὶ οὐδὲν ἂν εἰκῇ
καὶ ἀλογίστως ποιῆσαι, ἠγανάκτουν ἄν, ἡγούμενος μᾶλ-
λον εὐλογεῖσθαι ἢ ὥς μοι προσῆκε· νῦν δὲ πάντας ἂν
ὑμᾶς βουλοίμην περὶ ἐμοῦ ταύτην τὴν γνώμην ἔχειν,
ἵν' ἡγῆσθέ με σκοπεῖν ἄν, εἴπερ τοιούτοις ἔργοις ἐπε-

χρῆναι γενέσθαι. καὶ τούτου μὲν οὐ θαυμάζω· οὐ
γὰρ δήπου συκοφαντῶν ἅμα τοιούτων γε λόγων ἀπο-
ρήσει καὶ μαρτύρων· ὑμᾶς δ' οὐκ ἀξιῶ τὴν αὐτὴν
20 τούτῳ γνώμην ἔχειν. ἐπίστασθε γὰρ ἐν τῷ πεδίῳ
πολλὰς μορίας οὔσας καὶ πυρκαϊὰς ἐν τοῖς ἄλλοις τοῖς
ἐμοῖς χωρίοις, ἅς, εἴπερ ἐπεθύμουν, πολὺ ἦν ἀσφαλέ-
στερον καὶ ἀφανίσαι καὶ ἐπεργάσασθαι, ὅσῳπερ ἧττον
τὸ ἀδίκημα πολλῶν οὐσῶν ἔμελλε δῆλον ἔσεσθαι. νῦν
δ' οὕτως αὐτὰς περὶ πολλοῦ ποιοῦμαι, ὥσπερ καὶ τὴν
πατρίδα καὶ τὴν ἄλλην οὐσίαν, ἡγούμενος περὶ ἀμφο-
21 τέρων τούτων εἶναί μοι τὸν κίνδυνον. αὐτοὺς τοίνυν
ὑμᾶς τούτων μάρτυρας παρέξομαι, ἐπιμελουμένους μὲν
ἑκάστου μηνός, γνώμονας δὲ πέμποντας καθ' ἕκαστον
ἐνιαυτόν· ὧν οὐδεὶς πώποτ' ἐζημίωσέ μ' ὡς ἐργαζόμε-
νον τὰ περὶ τὰς μορίας χωρία. καίτοι οὐ δήπου τὰς
μὲν μικρὰς ζημίας οὕτω περὶ πολλοῦ ποιοῦμαι, τοὺς
δὲ περὶ τοῦ σώματος κινδύνους οὕτω περὶ οὐδενὸς
ἡγοῦμαι· καὶ τὰς μὲν πολλὰς ἐλάας, εἰς ἃς ἐξῆν μᾶλ-
λον ἐξαμαρτάνειν, οὕτω θεραπεύων φαίνομαι, τὴν δὲ
μορίαν, ἣν οὐχ οἷόν τ' ἦν λαθεῖν ἐξορύξαντα, ὡς
22 ἀφανίζων νυνὶ κρίνομαι· πότερον δέ μοι κρεῖττον ἦν,
ὦ βουλή, δημοκρατίας οὔσης παρανομεῖν ἢ ἐπὶ τῶν
τριάκοντα; καὶ οὐ λέγω ὡς τότε δυνάμενος ἢ ὡς νῦν
διαβεβλημένος, ἀλλ' ὡς τῷ βουλομένῳ τότε μᾶλλον
ἐξῆν ἀδικεῖν ἢ νυνί. ἐγὼ τοίνυν οὐδ' ἐν ἐκείνῳ τῷ
χρόνῳ οὔτε τοιοῦτον οὔτ' ἄλλ' οὐδὲν κακὸν ποιήσας
23 φανήσομαι. πῶς δ' ἄν, εἰ μὴ πάντων ἀνθρώπων
ἐμαυτῷ κακονούστατος ἦν, ὑμῶν οὕτως ἐπιμελουμένων
ἐκ τούτου τὴν μορίαν ἀφανίζειν ἐπεχείρησα τοῦ χω-
ρίου, ἐν ᾧ δένδρον μὲν οὐδ' ἕν ἐστι, μιᾶς δὲ ἐλάας
σηκός, ὡς οὗτός φησιν εἶναι, κυκλόθεν δ' ὁδὸς περι-

ἔχει, ἀμφοτέρωθεν δὲ γείτονες περιοικοῦσιν, ἄερκτον δὲ καὶ πανταχόθεν κάτοπτόν ἐστιν; ὥστε τίς ἂν ἀπετόλμησε, τούτων οὕτως ἐχόντων, ἐπιχειρῆσαι τοιούτῳ πράγματι; δεινὸν δέ μοι δοκεῖ εἶναι ὑμᾶς μέν, οἷς 24
ὑπὸ τῆς πόλεως τὸν ἅπαντα χρόνον προστέτακται τῶν μοριῶν ἐλαῶν ἐπιμελεῖσθαι, μήθ' ὡς ἐπεργαζόμενον πώποτε ζημιῶσαί με μήθ' ὡς ἀφανίσαντ' εἰς κίνδυνον καταστῆσαι, τοῦτον δ', ὃς οὔτε γεωργῶν ἐγγὺς τυγχάνει οὔτ' ἐπιμελητὴς ᾑρημένος οὔθ' ἡλικίαν ἔχων εἰδέναι περὶ τῶν τοιούτων, ἀπογράψασθαί με μορίαν ἀφανίζειν.

V. Iovis de multis et gravibus officiis suis querimonia.

(Lucian. bis accus. c. 2—3. cf. fasc. II p. 20.)

Ἐγὼ αὐτὸς ὁ πάντων βασιλεὺς καὶ πατὴρ ὅσας μὲν 1
ἀηδίας ἀνέχομαι, ὅσα δὲ πράγματα ἔχω πρὸς τοσαύτας φροντίδας διῃρημένος· ᾧ πρῶτα μὲν τὰ τῶν ἄλλων θεῶν ἔργα ἐπισκοπεῖν ἀναγκαῖον, ὁπόσοι τι ἡμῖν ξυνδιαπράττουσι τῆς ἀρχῆς, ὡς μὴ βλακεύωσιν ἐν αὐτοῖς, ἔπειτα δὲ καὶ αὐτῷ μυρία ἄττα πράττειν καὶ σχεδὸν ἀνέφικτα ὑπὸ λεπτότητος· οὐ γὰρ μόνον τὰ κεφάλαια ταῦτα τῆς διοικήσεως, ὑετοὺς καὶ χαλάζας καὶ πνεύματα καὶ ἀστραπάς, αὐτὸς οἰκονομησάμενος καὶ διατάξας πέπαυμαι τῶν ἐπὶ μέρους φροντίδων ἀπηλλαγμένος, ἀλλά με δεῖ καὶ ταῦτα μὲν ποιεῖν, ἀποβλέπειν 2
δὲ κατὰ τὸν αὐτὸν χρόνον ἁπανταχῇ καὶ πάντα ἐπισκοπεῖν ὥσπερ τὸν ἐν τῇ Νεμέᾳ βουκόλον, τοὺς κλέπτοντας, τοὺς ἐπιορκοῦντας, τοὺς θύοντας, εἴ τις ἔσπεισε, πόθεν ἡ κνῖσα καὶ ὁ καπνὸς ἀνέρχεται, τίς νοσῶν ἢ πλέων ἐκάλεσε, καὶ τὸ πάντων ἐπιπονώτατον,

ὑφ' ἕνα καιρὸν ἔν τε Ὀλυμπίᾳ τῇ ἑκατόμβῃ παρεῖναι
καὶ ἐν Βαβυλῶνι τοὺς πολεμοῦντας ἐπισκοπεῖν καὶ ἐν
3 Γέταις χαλαζᾶν καὶ ἐν Αἰθίοψιν εὐωχεῖσθαι. τὸ δὲ
μεμψίμοιρον οὐδὲ οὕτω διαφυγεῖν ῥᾴδιον, ἀλλὰ πολ-
B 1 λάκις οἱ μὲν ἄλλοι θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὕδουσι παννύχιοι, τὸν Δία δὲ ἐμὲ οὐκ ἔχει νήδυμος
ὕπνος. ἢν γάρ τι καὶ μικρὸν ἐπινυστάξωμεν, ἀληθὴς
εὐθὺς ὁ Ἐπίκουρος, ἀπρονοήτους ἡμᾶς ἀποφαίνων τῶν
ἐπὶ γῆς πραγμάτων, καὶ ὁ κίνδυνος οὐκ εὐκαταφρόνη-
τος, εἰ ταῦτα οἱ ἄνθρωποι πιστεύσουσιν αὐτῷ, ἀλλ'
ἀστεφάνωτοι μὲν ἡμῖν οἱ ναοὶ ἔσονται, ἀκνίσωτοι δὲ
αἱ ἀγυιαί, ἄσπονδοι δὲ οἱ κρατῆρες, ψυχροὶ δὲ οἱ βω-
μοί, καὶ ὅλως ἄθυτα καὶ ἀκαλλιέρητα πάντα καὶ ὁ
λιμὸς πολύς.

4 Τοιγαροῦν ὥσπερ οἱ κυβερνῆται ὑψηλὸς μόνος ἐπὶ
τῆς πρύμνης ἕστηκα τὸ πηδάλιον ἔχων ἐν ταῖν χεροῖν,
καὶ οἱ μὲν ἄλλοι ἐπιβάται μεθύοντες εἰ τύχοι ἐγκαθεύ-
δουσιν, ἐγὼ δὲ ἄγρυπνος καὶ ἄσιτος ὑπὲρ ἁπάντων
μερμηρίζω κατὰ φρένα καὶ κατὰ θυμὸν μόνῳ τῷ δε-
σπότης εἶναι δοκεῖν τετιμημένος. ὥστε ἡδέως ἂν ἐροί-
μην τοὺς φιλοσόφους, οἳ μόνους τοὺς θεοὺς εὐδαιμο-
νίζουσιν, ὁπότε καὶ σχολάζειν ἡμᾶς τῷ νέκταρι καὶ τῇ
5 ἀμβροσίᾳ νομίζουσι μυρία ὅσα ἔχοντας πράγματα· ἰδού
γέ τοι ὑπ' ἀσχολίας τοσαύτας ἑώλους δίκας φυλάττομεν
ἀποκειμένας ὑπ' εὐρῶτος ἤδη καὶ ἀραχνίων διεφθαρ-
μένας, καὶ μάλιστα ὁπόσαι τὰς ἐπιστήμας καὶ τέχνας
πρὸς ἀνθρώπους τινὰς ξυνέστησαν, πάνυ παλαιὰς ἐνίας
αὐτῶν. οἱ δὲ κεκράγασιν ἁπανταχόθεν καὶ ἀγανα-
κτοῦσι καὶ τὴν δίκην ἐπιβοῶνται κἀμὲ τῆς βραδυτῆτος
αἰτιῶνται, ἀγνοοῦντες ὡς οὐκ ὀλιγωρίᾳ τὰς κρίσεις
ὑπερημέρους ξυνέβη γενέσθαι, ἀλλ' ὑπὸ τῆς εὐδαιμο-

νίας, ἢ ξυνεῖναι ἡμᾶς ὑπολαμβάνουσι· τοῦτο γὰρ τὴν ἀσχολίαν καλοῦσιν.

VI. Athenae omnium artium inventrices.

(Isocr. IV 28—33. 38—50.)

Πρῶτον μέν, οὗ πρῶτον ἡ φύσις ἡμῶν ἐδεήθη, διὰ τῆς πόλεως τῆς ἡμετέρας ἐπορίσθη· καὶ γὰρ εἰ μυθώδης ὁ λόγος γέγονεν, ὅμως αὐτῷ καὶ νῦν ῥηθῆναι προσήκει. Δήμητρος γὰρ ἀφικομένης εἰς τὴν χώραν, ὅτ᾽ ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης, καὶ πρὸς τοὺς προγόνους ἡμῶν εὐμενῶς διατεθείσης ἐκ τῶν εὐεργεσιῶν, ἃς οὐχ οἷόν τ᾽ ἄλλοις ἢ τοῖς μεμυημένοις ἀκούειν, καὶ δούσης δωρειὰς διττάς, αἵπερ μέγισται τυγχάνουσιν οὖσαι, τούς τε καρπούς, οἳ τοῦ μὴ θηριωδῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασι, καὶ τὴν τελετήν, ἧς οἱ μετασχόντες περί τε τῆς τοῦ βίου τελευτῆς καὶ τοῦ σύμπαντος 1
αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχουσιν, οὕτως ἡ πόλις 2
ἡμῶν οὐ μόνον θεοφιλῶς ἀλλὰ καὶ φιλανθρώπως ἔσχεν, ὥστε κυρία γενομένη τοσούτων ἀγαθῶν οὐκ ἐφθόνησε τοῖς ἄλλοις, ἀλλ᾽ ὧν ἔλαβεν ἅπασι μετέδωκεν. καὶ τὰ μὲν ἔτι καὶ νῦν καθ᾽ ἕκαστον τὸν ἐνιαυτὸν δείκνυμεν, τῶν δὲ συλλήβδην τάς τε χρείας καὶ τὰς ἐργασίας καὶ τὰς ὠφελείας τὰς ἀπ᾽ αὐτῶν γιγνομένας ἐδίδαξεν. καὶ τούτοις ἀπιστεῖν μικρῶν ἔτι προστεθέντων οὐδεὶς ἂν ἀξιώσειεν.
αἱ μὲν γὰρ πλεῖσται τῶν πόλεων ὑπόμνημα τῆς παλαιᾶς 3
εὐεργεσίας ἀπαρχὰς τοῦ σίτου καθ᾽ ἕκαστον τὸν ἐνιαυτὸν ὡς ἡμᾶς ἀποπέμπουσι, ταῖς δ᾽ ἐκλειπούσαις πολλάκις ἡ Πυθία προσέταξεν ἀποφέρειν τὰ μέρη τῶν καρπῶν καὶ ποιεῖν πρὸς τὴν ἡμετέραν τὰ πάτρια. καίτοι περὶ τίνων χρὴ μᾶλλον πιστεύειν ἢ περὶ ὧν ὅ τε

θεὸς ἀναιρεῖ καὶ πολλοῖς τῶν Ἑλλήνων συνδοκεῖ;
4 χωρὶς δὲ τούτων, ἢν ἅπαντα ταῦτ' ἐάσαντες ἀπὸ τῆς
ἀρχῆς σκοπῶμεν, εὑρήσομεν, ὅτι τὸν βίον οἱ πρῶτοι
φανέντες ἐπὶ γῆς οὐκ εὐθὺς οὕτως ὥσπερ νῦν ἔχοντα
κατέλαβον, ἀλλὰ κατὰ μικρὸν αὐτοὶ συνεπορίσαντο.
τίνας οὖν χρὴ μᾶλλον νομίζειν ἢ δωρειὰν παρὰ τῶν
θεῶν λαβεῖν ἢ ζητοῦντας αὐτοὺς ἐντυχεῖν; οὐ τοὺς
ὑπὸ πάντων ὁμολογουμένους καὶ πρώτους γενομένους
καὶ πρός τε τὰς τέχνας εὐφυεστάτους ὄντας καὶ πρὸς
τὰ τῶν θεῶν εὐσεβέστατα διακειμένους; καὶ μὴν ὅσης
προσήκει τιμῆς τυγχάνειν τοὺς τηλικούτων ἀγαθῶν
αἰτίους, περίεργον διδάσκειν. οὐδεὶς γὰρ ἂν δύναιτο
δωρειὰν τοσαύτην τὸ μέγεθος εὑρεῖν, ἥτις ἴση τοῖς
πεπραγμένοις ἐστίν.

5 Οὐ τοίνυν, ἐπειδὴ τὰ μέγιστα συνδιέπραξε, τῶν
ἄλλων ὠλιγώρησεν, ἀλλ' ἀρχὴν μὲν ταύτην ἐποιήσατο
τῶν εὐεργεσιῶν, τροφὴν τοῖς δεομένοις εὑρεῖν, ἥνπερ
χρὴ τοὺς μέλλοντας καὶ περὶ τῶν ἄλλων καλῶς διοι-
κήσειν, ἡγουμένη δὲ τὸν βίον τὸν ἐπὶ τούτοις μόνον
οὔπω τοῦ ζῆν ἐπιθυμεῖν ἀξίως ἔχειν οὕτως ἐπεμελήθη
καὶ τῶν λοιπῶν, ὥστε τῶν παρόντων τοῖς ἀνθρώποις
ἀγαθῶν, ὅσα μὴ παρὰ θεῶν ἔχομεν ἀλλὰ δι' ἀλλήλους
ἡμῖν γέγονε, μηδὲν μὲν ἄνευ τῆς πόλεως τῆς ἡμετέρας
6 εἶναι, τὰ δὲ πλεῖστα διὰ ταύτην γεγενῆσθαι. παραλα-
βοῦσα γὰρ τοὺς Ἕλληνας ἀνόμως ζῶντας καὶ σποράδην
οἰκοῦντας, καὶ τοὺς μὲν ὑπὸ δυναστειῶν ὑβριζομένους,
τοὺς δὲ δι' ἀναρχίαν ἀπολλυμένους, καὶ τούτων τῶν
κακῶν αὐτοὺς ἀπήλλαξε, τῶν μὲν κυρία γενομένη, τοῖς
δ' αὑτὴν παράδειγμα ποιήσασα· πρώτη γὰρ καὶ νόμους
7 ἔθετο καὶ πολιτείαν κατεστήσατο. δῆλον δ' ἐκεῖθεν·
οἱ γὰρ ἐν ἀρχῇ περὶ τῶν φονικῶν ἐγκαλέσαντες καὶ

*βουληθέντες μετὰ λόγου καὶ μὴ μετὰ βίας διαλύσασθαι
τὰ πρὸς ἀλλήλους ἐν τοῖς νόμοις τοῖς ἡμετέροις τὰς
κρίσεις ἐποιήσαντο περὶ αὐτῶν. καὶ μὲν δὴ καὶ τῶν
τεχνῶν τάς τε πρὸς τἀναγκαῖα τοῦ βίου χρησίμας καὶ
τὰς πρὸς ἡδονὴν μεμηχανημένας, τὰς μὲν εὑροῦσα, τὰς
δὲ δοκιμάσασα χρῆσθαι τοῖς λοιποῖς παρέδωκεν. τὴν* 8
*τοίνυν ἄλλην διοίκησιν οὕτω φιλοξένως κατεσκευάσατο
καὶ πρὸς ἅπαντας οἰκείως, ὥστε καὶ τοῖς χρημάτων
δεομένοις καὶ τοῖς ἀπολαῦσαι τῶν ὑπαρχόντων ἐπιθυ-
μοῦσιν ἀμφοτέροις ἁρμόττειν καὶ μήτε τοῖς εὐδαιμο-
νοῦσι μήτε τοῖς δυστυχοῦσιν ἐν ταῖς αὑτῶν ἀχρήστως
ἔχειν ἀλλ' ἑκατέροις αὐτῶν εἶναι παρ' ἡμῖν, τοῖς μὲν
ἡδίστας διατριβάς, τοῖς δ' ἀσφαλεστάτην καταφυγήν.
ἔτι δὲ τὴν χώραν οὐκ αὐτάρκη κεκτημένων ἑκάστων,* 9
*ἀλλὰ τὰ μὲν ἐλλείπουσαν, τὰ δὲ πλείω τῶν ἱκανῶν
φέρουσαν, καὶ πολλῆς ἀπορίας οὔσης τὰ μὲν ὅποι χρὴ
διαθέσθαι, τὰ δ' ὁπόθεν εἰσαγαγέσθαι, καὶ ταύταις
ταῖς συμφοραῖς ἐπήμυνεν· ἐμπόριον γὰρ ἐν μέσῳ τῆς
Ἑλλάδος τὸν Πειραιᾶ κατεσκευάσατο, τοσαύτην ἔχονθ'
ὑπερβολήν, ὥσθ' ἃ παρὰ τῶν ἄλλων ἓν παρ' ἑκάστων
χαλεπόν ἐστι λαβεῖν, ταῦθ' ἅπαντα παρ' αὐτῆς ῥᾴδιον
εἶναι πορίσασθαι.*

Τῶν τοίνυν τὰς πανηγύρεις καταστησάντων δικαίως 10
*ἐπαινουμένων, ὅτι τοιοῦτον ἔθος ἡμῖν παρέδοσαν, ὥστε
σπεισαμένους καὶ τὰς ἔχθρας τὰς ἐνεστηκυίας διαλυσα-
μένους συνελθεῖν εἰς ταὐτὸν καὶ μετὰ ταῦτ' εὐχὰς καὶ
θυσίας κοινὰς ποιησαμένους ἀναμνησθῆναι μὲν τῆς
συγγενείας τῆς πρὸς ἀλλήλους ὑπαρχούσης, εὐμενεστέ-
ρως δ' εἰς τὸν λοιπὸν χρόνον διατεθῆναι πρὸς ἡμᾶς
αὐτοὺς καὶ τάς τε παλαιὰς ξενίας ἀνανεώσασθαι καὶ
καινὰς ἑτέρας ποιήσασθαι, καὶ μήτε τοῖς ἰδιώταις μήτε* 11

τοῖς διενεγκοῦσι τὴν φύσιν ἀργὸν εἶναι τὴν διατριβήν,
ἀλλ' ἀθροισθέντων τῶν Ἑλλήνων ἐγγενέσθαι τοῖς μὲν
ἐπιδείξασθαι τὰς αὑτῶν εὐτυχίας, τοῖς δὲ θεάσασθαι
τούτους πρὸς ἀλλήλους ἀγωνιζομένους, καὶ μηδετέρους
ἀθύμως διάγειν, ἀλλ' ἑκατέρους ἔχειν, ἐφ' οἷς φιλοτι-
μηθῶσιν, οἱ μὲν ὅταν ἴδωσι τοὺς ἀθλητὰς αὑτῶν ἕνεκα
πονοῦντας, οἱ δ' ὅταν ἐνθυμηθῶσιν, ὅτι πάντες ἐπὶ
τὴν σφετέραν θεωρίαν ἥκουσι, — τοσούτων τοίνυν
ἀγαθῶν διὰ τὰς συνόδους ἡμῖν γιγνομένων οὐδ' ἐν τού-
12 τοις ἡ πόλις ἡμῶν ἀπελείφθη. καὶ γὰρ θεάματα πλεῖστα
καὶ κάλλιστα κέκτηται, τὰ μὲν ταῖς δαπάναις ὑπερβάλ-
λοντα, τὰ δὲ κατὰ τὰς τέχνας εὐδοκιμοῦντα, τὰ δ' ἀμ-
φοτέροις τούτοις διαφέροντα· καὶ τὸ πλῆθος τῶν εἰσ-
αφικνουμένων ὡς ἡμᾶς τοσοῦτόν ἐστιν, ὥστ' εἴ τι ἐν
τῷ πλησιάζειν ἀλλήλοις ἀγαθόν ἐστι, καὶ τοῦθ' ὑπ'
αὐτῆς περιειλῆφθαι. πρὸς δὲ τούτοις καὶ φιλίας εὑ-
ρεῖν πιστοτάτας καὶ συνουσίαις ἐντυχεῖν παντοδαπωτά-
ταις μάλιστα παρ' ἡμῖν ἔστιν, ἔτι δ' ἀγῶνας ἰδεῖν μὴ
μόνον τάχους καὶ ῥώμης ἀλλὰ καὶ λόγων καὶ γνώμης
καὶ τῶν ἄλλων ἔργων ἁπάντων, καὶ τούτων ἆθλα μέ-
13 γιστα. πρὸς γὰρ οἷς αὐτὴ τίθησι, καὶ τοὺς ἄλλους
διδόναι συναναπείθει· τὰ γὰρ ὑφ' ἡμῶν κριθέντα
τοσαύτην λαμβάνει δόξαν, ὥστε παρὰ πᾶσιν ἀνθρώποις
ἀγαπᾶσθαι. χωρὶς δὲ τούτων αἱ μὲν ἄλλαι πανηγύρεις
διὰ πολλοῦ χρόνου συλλεγεῖσαι ταχέως διελύθησαν, ἡ
δ' ἡμετέρα πόλις ἅπαντα τὸν αἰῶνα τοῖς ἀφικνουμένοις
πανήγυρίς ἐστιν.

14 Φιλοσοφίαν τοίνυν, ἣ πάντα ταῦτα συνεξεῦρε καὶ
συγκατεσκεύασε καὶ πρός τε τὰς πράξεις ἡμᾶς ἐπαί-
δευσε καὶ πρὸς ἀλλήλους ἐπράυνε καὶ τῶν συμφορῶν
τάς τε δι' ἀμαθίαν καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας

διεῖλε καὶ τὰς μὲν φυλάξασθαι, τὰς δὲ καλῶς ἐνεγκεῖν
ἐδίδαξεν, ἡ πόλις ἡμῶν κατέδειξε καὶ λόγους ἐτίμησεν,
ὧν πάντες μὲν ἐπιθυμοῦσι, τοῖς δ' ἐπισταμένοις φθο-
νοῦσι, συνειδυῖα μέν, ὅτι τοῦτο μόνον ἐξ ἁπάντων 15
τῶν ζῴων ἴδιον ἔφυμεν ἔχοντες καὶ διότι τούτῳ
πλεονεκτήσαντες καὶ τοῖς ἄλλοις ἅπασιν αὐτῶν διηνέγ-
καμεν, ὁρῶσα δὲ περὶ μὲν τὰς ἄλλας πράξεις οὕτω
ταραχώδεις οὔσας τὰς τύχας, ὥστε πολλάκις ἐν αὐταῖς
καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἀνοήτους κατορ-
θοῦν, τῶν δὲ λόγων τῶν καλῶς καὶ τεχνικῶς ἐχόντων
οὐ μετὸν τοῖς φαύλοις, ἀλλὰ ψυχῆς εὖ φρονούσης ἔρ-
γον ὄντας, καὶ τούς τε σοφοὺς καὶ τοὺς ἀμαθεῖς δο- 16
κοῦντας εἶναι ταύτῃ πλεῖστον ἀλλήλων διαφέροντας,
ἔτι δὲ τοὺς εὐθὺς ἐξ ἀρχῆς ἐλευθερίως τεθραμμένους
ἐκ μὲν ἀνδρίας καὶ πλούτου καὶ τῶν τοιούτων ἀγαθῶν
οὐ γιγνωσκομένους, ἐκ δὲ τῶν λεγομένων μάλιστα
καταφανεῖς γιγνομένους, καὶ τοῦτο σύμβολον τῆς παι-
δεύσεως ἡμῶν ἑκάστου πιστότατον ἀποδεδειγμένον, καὶ
τοὺς λόγῳ καλῶς χρωμένους οὐ μόνον ἐν ταῖς αὑτῶν
δυναμένους ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἐντίμους ὄντας.
τοσοῦτον δ' ἀπολέλοιπεν ἡ πόλις ἡμῶν περὶ τὸ φρο- 17
νεῖν καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους, ὥσθ' οἱ ταύ-
της μαθηταὶ τῶν ἄλλων διδάσκαλοι γεγόνασι, καὶ τὸ
τῶν Ἑλλήνων ὄνομα πεποίηκε μηκέτι τοῦ γένους ἀλλὰ
τῆς διανοίας δοκεῖν εἶναι, καὶ μᾶλλον Ἕλληνας καλεῖ-
σθαι τοὺς τῆς παιδεύσεως τῆς ἡμετέρας ἢ τοὺς τῆς
κοινῆς φύσεως μετέχοντας.

DIODORVS

Siculus ex oppido Agyrio ortus Caesaris et Augusti aetate floruit. scripsit bibliothecam historicam sive res ab ultima antiquitate usque ad Caesaris aetatem gestas libris quadraginta, quorum dimidia fere pars iniuria temporum periit.

VII. Dioxippi Atheniensis palma et clades.

(XVII c. 100 sq.)

1 *Ἀλέξανδρος διασωθεὶς ἐκ τοῦ τραύματος καὶ θύ-*
Ol. 113, 2 a. Chr. 327 *σας τοῖς θεοῖς σωτήρια μεγάλας ἑστιάσεις τῶν φίλων*
ἐποιεῖτο. παρὰ δὲ τὸν πότον ἴδιόν τι συνέβη γενέσθαι
καὶ μνήμης ἄξιον. ἐν γὰρ τοῖς ἑταίροις παραληφθείς
τις Μακεδών, ὄνομα Κόραγος, ῥώμῃ σώματος διαφέ-
ρων καὶ πολλάκις ἐν ταῖς μάχαις ἠνδραγαθηκώς, παρ-
οξυνθεὶς ὑπὸ τῆς μέθης προεκαλέσατο μονομαχῆσαι
Διώξιππον τὸν Ἀθηναῖον, ἀθλητὴν ἄνδρα καὶ ταῖς
2 *ἐπιφανεστάταις νίκαις ἐστεφανωμένον. τῶν δὲ παρα-*
κεκλημένων ἐπὶ τὸν πότον, ὡς εἰκός, συνεπιλαβομένων
τῆς φιλοτιμίας καὶ τοῦ μὲν Διωξίππου συγκαταθεμένου,
τοῦ δὲ βασιλέως ἡμέραν τῆς μάχης τάξαντος, ὡς ὁ τῆς
μονομαχίας χρόνος ἧκε, πολλαὶ μυριάδες ἀνδρῶν συν-
3 *ήχθησαν ἐπὶ τὴν θέαν. καὶ τῶν μὲν Μακεδόνων*
ὁμοεθνῶν ὄντων τῷ Κοράγῳ καὶ τοῦ βασιλέως συμ-
φιλοτιμουμένου, τῶν δὲ Ἑλλήνων τῷ Διωξίππῳ συν-
αγωνιώντων, προῆλθεν εἰς τὸν ἀγῶνα ὁ μὲν Μακεδὼν
πολυτελέσιν ὅπλοις κεκοσμημένος, ὁ δ' Ἀθηναῖος γυ-
4 *μνὸς ὑπαληλιμμένος, ἔχων ῥόπαλον σύμμετρον. ἀμφοτέ-*
ρων δὲ τῇ τε τοῦ σώματος ῥώμῃ καὶ τῇ τῆς ἀλκῆς
ὑπεροχῇ θαυμαζομένων, οἱονεί τις θεομαχία μέλλουσα
γίνεσθαι προσεδοκήθη· ὁ μὲν γὰρ Μακεδὼν διά τε
τὴν φύσιν τοῦ σώματος καὶ τὴν λαμπρότητα τῶν ὅπλων

*μεγάλην ἐπιφέρων κατάπληξιν Ἄρει παρεμφερὴς ὑπ-
ελαμβάνετο, ὁ δὲ Διώξιππος ὑπερέχων τε τῇ ῥώμῃ
καὶ διὰ τὴν ἐκ τῆς ἀθλήσεως μελέτην, ἔτι δὲ διὰ τὴν
περὶ τὸ ῥόπαλον ἰδιότητα τὴν πρόσοψιν ἡρακλεωτικὴν
εἶχεν. ὡς δ' ἐπῆγον ἀλλήλοις, ὁ μὲν Μακεδὼν ἐκ* 5
*συμμέτρου διαστήματος λόγχην ἠκόντισεν, ὁ δ' ἕτερος
βραχὺ παρεγκλίνας τὴν ἐπιφερομένην πληγὴν ἐξένευσεν.
εἶθ' ὁ μὲν τὴν Μακεδονικὴν σάρισαν προβεβλημένος
ἐπεπορεύετο, ὁ δ' ἐγγίσαντος αὐτοῦ τῷ ῥοπάλῳ πατάξας
τὴν σάρισαν ἀπέθραυσεν. ὁ δὲ δυσὶν ἐλαττώμασι περι-* 6
*πεσὼν ἐπὶ τὴν ἀπὸ τοῦ ξίφους μάχην κατήντησε. μέλ-
λοντος δ' αὐτοῦ σπᾶσθαι τὴν μάχαιραν ἔφθασε προ-
πηδήσας καὶ τῇ μὲν εὐωνύμῳ κατέλαβε τὴν ἕλκουσαν
τὸ ξίφος χεῖρα, τῇ δ' ἄλλῃ κινήσας ἐκ τῆς βάσεως τὸν
ἀντίπαλον ὑπέσυρε τὰ σκέλη. ῥιφέντος δ' ἐπὶ τὴν γῆν
ἐπιβὰς ἐπὶ τὸν τράχηλον τῷ ποδὶ καὶ τὸ ῥόπαλον
ἀνατεινάμενος ἀνέβλεψε πρὸς τοὺς θεωμένους. ἀνα-* 7
*βοήσαντος δὲ τοῦ πλήθους διά τε τὸ παράδοξον καὶ
τὴν ὑπερβολὴν τῆς ἀνδραγαθίας, ὁ μὲν βασιλεὺς προσ-
έταξεν ἀφεῖναι καὶ τὴν θέαν διαλύσας ἀπηλλάγη δυσ-
φορῶν ἐπὶ τῇ τοῦ Μακεδόνος ἥττῃ, ὁ δὲ Διώξιππος
ἀφεὶς τὸν πεπτωκότα καὶ περιβόητον νίκην ἀπενεγκά-
μενος ἀπῄει ταινιούμενος ὑπὸ τῶν ὁμοφύλων, ὡς κοι-
νὴν πᾶσι τοῖς Ἕλλησι παρεσχημένος εὐδοξίαν.*

Οὐ μὴν ἡ τύχη γε εἴασεν ἐπὶ πολὺν χρόνον καυ- 8
*χήσασθαι τὸν ἄνδρα τῇ νίκῃ. ὅ τε γὰρ βασιλεὺς
ἀλλοτριώτερον ἀεὶ διετέθη πρὸς αὐτόν, οἵ τε φίλοι
τοῦ Ἀλεξάνδρου καὶ πάντες οἱ περὶ τὴν αὐλὴν Μακε-
δόνες φθονοῦντες αὐτοῦ τῇ ἀρετῇ ἔπεισαν μὲν τὸν
ἐπὶ τῆς διακονίας τεταγμένον ὑποβαλεῖν ὑπὸ τὸ προσ-
κεφάλαιον χρυσοῦν ποτήριον, αὐτοὶ δὲ κατὰ τὸν ἑξῆς*

πότον καταιτιασάμενοι κλοπὴν καὶ ποτήριον εὑρηκέναι προσποιηθέντες εἰς αἰσχύνην καὶ ἀδοξίαν ἤγαγον τὸν
9 Διώξιππον. ὁ δὲ θεωρῶν τὴν ἐπ' αὐτὸν συνδρομὴν τῶν Μακεδόνων τότε μὲν ἐξῆλθεν ἐκ τοῦ πότου, μετ' ὀλίγον δὲ ἐπὶ τὴν ἰδίαν κατάλυσιν παραγενόμενος καὶ γράψας πρὸς τὸν Ἀλέξανδρον ἐπιστολὴν περὶ τῶν καθ' αὐτοῦ μεμηχανημένων ταύτην μὲν ἐνετείλατο τοῖς ἰδίοις δοῦναι τῷ βασιλεῖ, αὐτὸν δ' ἐκ τοῦ ζῆν μετέστησεν, ἀβούλως μὲν εἰς τὴν μονομαχίαν συγκαταβάς, πολὺ δ' ἀφρονεστέραν τὴν τοῦ βίου καταστροφὴν ποιη-
10 σάμενος. διὸ καὶ πολλοὶ τῶν καταμεμφομένων αὐτοῦ τὴν ἄνοιαν ἐπιπλήττοντες ἔφασαν χαλεπὸν εἶναι δύναμιν μὲν σώματος ἔχειν μεγάλην, νοῦν δὲ μικρόν. ὁ δὲ βασιλεὺς ἀναγνοὺς τὴν ἐπιστολὴν χαλεπῶς ἤνεγκεν ἐπὶ τῇ τἀνδρὸς τελευτῇ καὶ πολλάκις ἐπεζήτησε τὴν ἀρετὴν αὐτοῦ καὶ παρόντι μὲν οὐ χρησάμενος, ἀπόντα δὲ ἐπιποθήσας ὅτε οὐδὲν ὄφελος, ἔγνω τὴν καλοκαγαθίαν τἀνδρὸς ἐκ τῆς τῶν διαβαλόντων κακίας.

AELIVS ARISTIDES

anno p. Chr 117 Hadrianis, quod erat Mysiae oppidum, natus cum philosophiae et rhetoricae operam dedisset disciplina Herodis Attici, Aristoclis Pergameni aliorumque sophistarum usus multisque itineribus orbem terrarum perlustrasset, ea quae tum ferebatur eloquentia adeo floruit, ut sibi atque aequalibus Demosthenis laudem videretur aequare; diem obiit anno fere 185 Smyrnae. orationum eius quinque et quinquaginta ad aetatem nostram pervenerunt.

VIII. Rhodus terrae motu deleta deploratur.

(or. XLIII ed. Dind. I 803—808.)

I Τίς ἂν ἔτι σωφρονοίη τῆς σχετλίας ἐκείνης μεσημ-
f. p. 155 βρίας μνησθείς, ἐν ᾗ τὸ κακὸν πρῶτον ἤρχετο καὶ

κατῄει, ἡνίκα εἱστήκει μὲν ἡ θάλαττα καραδοκοῦσα τὸ
μέλλον, ὥσπερ ἄλλον τινὰ χειμῶνα μέγαν καὶ ἀνήκε-
στον προσδεχομένη, σιγὴν δ' εἶχεν ἅπας ὁ ἀήρ, ὥσπερ
προσδοκῶν τὸ ἐσόμενον, καὶ ὄρνιθες καὶ πάντα ἡσύ-
χαζον ἐπὶ τῷ μέλλοντι, ὑπέκειτο δ' ἄρα ἡ πόλις τοι-
ούτῳ παθήματι καὶ ἐπὶ ταύτην πᾶς ὁ σεισμὸς ἠρτύετο·
ὁ δ' ἥλιος τελευταῖα δὴ τότε ἐπέλαμπε τὴν ἑαυτοῦ
πόλιν, καὶ παρῆν ἐξαίφνης πάντα ὁμοῦ τὰ δεινά.
ὑπανεχώρει μὲν ἡ θάλαττα καὶ πᾶν ἐψιλοῦτο τῶν λι- 2
μένων τὸ ἐντός, ἀνερριπτοῦντο δ' οἰκίαι καὶ μνήματα
ἀνερρήγνυντο, πύργοι δὲ πύργοις ἐνέπιπτον καὶ νεώσ-
οικοι τριήρεσι καὶ νεῷ βωμοῖς καὶ ἀναθήματα ἀγάλ-
μασι καὶ ἄνδρες ἀνδράσι καὶ πάντα ἀλλήλοις. ἐν ὅσῳ
δ' ἀνὴρ ἄγκυραν εἰς ἀπόπλουν ἀνήρτητο, μεταστραφεὶς
οὐκέτ' εἶχεν ἰδεῖν τὴν πόλιν, ἀλλ' ἐγίγνετο πάντα ὁμοῦ,
οἱ λιμένες ἐπὶ ξηροῦ, ἡ πόλις ἐν κόνει, δρόμοι εἰς
οἰκίας ἐκ στενωπῶν, εἰς στενωποὺς ἐξ οἰκιῶν, θάνατοι
κατ' οἰκίας, ἐν ἱεροῖς, ἐν θύραις, ἐν πύλαις. ἔξω μὲν 3
τὰ μνήματα ἀνερρίπτει τοὺς κειμένους, ἔνδον δ' ἐκρύ-
πτοντο οἱ τελευτήσαντες· τῶν δ' ὥσπερ τὰ εὐκταῖα
ἀναθήματα χεῖρες ἐπ' ἄκρων τοίχων, τῶν δὲ πόδες,
τῶν δ' ἄλλο τι λείψανον ἑωρᾶτο· καὶ οὐδὲ ταῦθ'
ἕκαστα ἐνῆν εἰκάσαι τίνων λείπεται. καὶ οἱ μὲν τὰς
ἑαυτῶν φεύγοντες οἰκίας ἐν ταῖς ἑτέρων ἀπώλλυντο,
οἱ δ' ἐν ταῖς ἑαυτῶν ὑπ' ἐκπλήξεως μένοντες, οἱ δ'
ἐκθέοντες ἐγκαταλαμβανόμενοι, οἱ δ' ἀπολειφθέντες
ἡμιθνῆτες, οὐκ ἔχοντες ἐξαναδῦναι οὐδὲ αὑτοὺς ῥύσα-
σθαι, κακῶν ἐπιθήκην τὸν λιμὸν προσελάμβανον, καὶ
τοσοῦτον κερδαίνοντες, ὅσον γνῶναι τὴν πατρίδα οὐκ
οὖσαν, ἐπαπώλλυντο. τῶν δὲ διέκρινε τὰ σώματα ἡ 4
τύχη, καὶ τὰ μὲν ἡμίσεα εἴσω θυρῶν ἀπείληπτο, τὰ δ'

ἡμίτομα ἔξω προὔκειτο. καὶ τούτοις ἕτερα αὖ προσενέπιπτε σώματα, σκεύη, λίθοι, ὅ τι ἑκάστῳ φέρων ὁ σεισμὸς ἀνέμειξεν. οἱ μὲν προσεδόκων, οἱ δὲ τοὺς οἰκείους ἐζήτουν, οἱ δ' οὐκ εἶχον πότερ' αὐτοὺς ἢ τοὺς ἑαυτῶν ὀδύρωνται· οἱ δ' ἀπῴμωζον τὴν πόλιν, οἱ δ' ἐνεπίμπραντο ὁμοῦ τῶν ὀροφῶν καὶ τῶν ἑστιῶν γενομένων. οἱ δὲ παῖδας ἐξαρπάζοντες αὐτοὶ κατελαμβά-
5 νοντο, οἱ δ' ἑαυτοὺς ἐπαπεκτίννυον. οἱ μὲν οὐ πρὸ πολλοῦ κληθέντες νυμφίοι ἔκειντο εἰς οὐδὲν καλὸν ᾄσαντες τὸν ὑμέναιον, οὐ ῥᾴδιον γνῶναι πότερον αὐτοὶ δυστυχεῖς, ἢ ἃς ἠγάγοντο· οἱ δ' ἀπὸ θαλάττης ἀναβεβηκότες τὴν πατρῴαν ἑστίαν ἀπιστοτέραν τῆς θαλάττης εὗρον· οἱ δ' ἐπ' ἀναγωγὴν σπεύδοντες τελευταῖα δὴ τότε οἴκοθεν ἀνήγοντο, προκαταδύσης αὐτοῖς τῆς πατρίδος.

II Κατεῖχε δ' ὁμοῦ σεισμὸς θαλάττης, νεφέλης κτύπος, οἰμωγαί, πάταγος πτωμάτων, γῆς ἐκφυσήματα. οἶμαι γὰρ οὔτε τοὺς ὑπὲρ Αἴγυπτον καταρράκτας οὔτε τὴν τῆς ἔξω θαλάττης ῥαχίαν οὔτε σκηπτοὺς πυρφόρους οὐθ' ὅτι πλεῖστον ἠχεῖ κατ' ἀνθρώπους τῷ τότ' εἶναι κακῷ καὶ κτύπῳ παραβαλεῖν, ὃς ἐξ ἁπάντων εἷς ἠγείρετο συμμιγής, τὴν ἀπροσδόκητον καὶ ἄχαριν συναυλίαν πληρῶν, ἐφ' ᾗ Ῥόδος ἐξωρμήκει· συνενήνεκτό τε εἰς ταὐτὸν νεκροί, βωμοί, στέγαι, κόνις, αἷμα, ἔπιπλα, ὄροφοι, θεμέλια, οἰκέται, δεσπόται, μέλη σωμάτων, εἰ-
2 κόνες, σφαγαί, τάφοι, δεῖπνα. οἱ μὲν ἐν τοῖς σώμασι τῶν φιλτάτων σκηνοῦντες ἐλάνθανον ἑαυτούς, οἱ δ' ἐζήτουν τὰ λοιπὰ ἑαυτῶν οἱ μὲν πόδας, οἱ δὲ χεῖρας, οἱ δ' ὅ τι ἕκαστος ἐπηρώθη τοῦ σώματος, οἱ δὲ καὶ συνέθαπτον ταῦτα τοῖς οἰκείοις, οἱ δ' ὑπὸ τῶν ἑκατέρωθεν ἐμπεσόντων συσχεθέντες ἤγχοντο, οἱ δὲ πρό-

τερον κατωρύχθησαν ἢ ἀπέθανον· πᾶν δὴ κακῶν εἶδος καὶ ἅ τις μηδεπώποτε ἐπενόησε, τότε πρῶτον εἰσεῖδεν. εὔξασθαι δ' οὐκ εἶχον οἱ λοιποὶ πότερα ὅπως σωθῶσιν 3
ἢ ὅπως ἀποθάνωσι. ποῖοι ταῦτα κήρυκες ἢ τίνες ποιηταὶ καταθρηνήσουσιν ἀξίᾳ τῇ φωνῇ; τίς ἀρκῶν διηγήσασθαι; ποῖον γὰρ πάθος ὀξύτερον, εἰ δὲ βούλει, μακρότερον; ποίαν πόλιν Ἑλληνίδα ἢ βάρβαρον ἐν τῷ παντὶ χρόνῳ κατέλαβε τοιοῦτον; πυραὶ δ' ἀήθεις ἐκάοντο ὁμοίως νύκτα καὶ ἡμέραν, ταῖς πρόσθεν ἱερομηνίαις ἀντίστροφοι. καὶ πρότερον μέν, ὦ Ζεῦ, τὰς 4
φονικὰς δίκας ἔξω πυλῶν ἐδικάζετε, ὡς οὐδὲ καταψηφίσασθαι θάνατον ἐντὸς τείχους εὐσεβῶς ἔχον ὑμῖν, νυνὶ δ' ἐπὶ μιᾶς ἡμέρας τοσούτων ὄλεθρον ὁ δαίμων κατέγνω ἅμα τ' εἴσω πόλεως καὶ σὺν αὐτῇ, καὶ τούτους ἐν αὐτῇ κάειν ἠναγκάζεσθε οἱ λοιποί, καὶ τὴν ἄβατον τοῖς ἀνδροφόνοις πόλιν ταφὴν τῶν ἀπολλυμένων ἑκάστῳ κατέστησε. καὶ τὰ μὲν πρόσθεν λεγόμενα 5
ταῦτα μυθολογήματα ἦν, ὅτι τήνδε τὴν νῆσον οὖσαν ὑπὸ τῇ θαλάττῃ καὶ κεκρυμμένην Ἡλίῳ δῶρον ἀνεῖσαν θεοί, τὰ δὲ νῦν εἰς τοὐναντίον περιέστηκε διηγεῖσθαι, ὅτι ἥδε ἡ πόλις κατὰ γῆς ἔδυ καὶ ἀπῆλθεν ἐξ ἀνθρώπων, ὄντος ὑπὲρ γῆς ἡλίου, καὶ ἐπεῖδεν ἥλιος ἐν Ῥόδῳ τὰ ἀθέατα θεάματα ἑαυτῷ. καὶ Ὅμηρος μὲν πλοῦτον 6
ἔφη καταχέαι τὸν Δία τῇ νήσῳ καὶ τοῖς περὶ Τληπό- B 670
λεμον προγόνοις ὑμῶν, καὶ Πίνδαρος παραλαβὼν ὗσαι Ol. 7, 49
χρυσὸν νεφέλην ξανθὴν ἐπιστήσαντα. νῦν δ' οἷα κατέχεε δῶρα ὁ δαίμων, οἷον νέφος ἔστησεν ὑπὲρ τῆς πόλεως, ὡς ἀνάξια μὲν ἐκείνων τῶν πρότερον, ἀνάξια δ' ὑμῶν καὶ τοῦ τῆς πόλεως σχήματος. καὶ νῦν Κάρ- 7
παθον μὲν καὶ Κάσον καὶ ἄλλας νήσους οἰκουμένας ἔστιν ἰδεῖν, οὐδὲν ἐχούσας ὅτι εἴπωσι καὶ παρ' ὧν

φόρον ἐκλέγειν ὑμῖν πρὸ τοῦ μικρὸν ἦν, καὶ ἄλλα πολίσματα ὑπόψαμμα λυπρὰ καὶ ἀμφισβητήσιμα. Ῥόδος δ', ὦ Ζεῦ καὶ πάντ' ἐφορῶν Ἥλιε πλὴν Ῥόδου, νῦν οὐδαμοῦ, ἀλλ', ὥσπερ οἱ τοὺς μύθους λέγοντες, διηγεῖσθαι δεῖ τοῖς ἐπιγιγνομένοις τοὺς παρ' ἡμῶν παραλαμβάνοντας, ὡς ποτὲ ἦν καὶ Ῥόδος ἀντιπέρας Καρίας πόλις ὥρᾳ καὶ μεγέθει περιφανής, καὶ τὸν τόπον δεικνύειν ὡς τὸν Ἰαλύσου καὶ Καμείρου νῦν.

IX. Socrates et Phaedrus in ripa Ilisi inter se colloquuntur.

(Platon. Phaedr. p. 227A—230E. cf. fasc. II p. 3.)

1 ΣΩ. Ὦ φίλε Φαῖδρε, ποῖ δὴ καὶ πόθεν;

ΦΑΙ. Παρὰ Λυσίου, ὦ Σώκρατες, τοῦ Κεφάλου· πορεύομαι δὲ πρὸς περίπατον ἔξω τείχους. συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον καθήμενος ἐξ ἑωθινοῦ· τῷ δὲ σῷ καὶ ἐμῷ ἑταίρῳ πειθόμενος Ἀκουμενῷ κατὰ τὰς ὁδοὺς ποιοῦμαι τοὺς περιπάτους· φησὶν γὰρ ἀκοπωτέρους εἶναι τῶν ἐν τοῖς δρόμοις.

ΣΩ. Καλῶς γάρ, ὦ ἑταῖρε, λέγει. ἀτὰρ Λυσίας ἦν, ὡς ἔοικεν, ἐν ἄστει.

ΦΑΙ. Ναί, παρ' Ἐπικράτει, ἐν τῇδε τῇ πλησίον τοῦ Ὀλυμπίου οἰκίᾳ τῇ Μορυχίᾳ.

2 ΣΩ. Τίς οὖν δὴ ἦν ἡ διατριβή; ἢ δῆλον ὅτι τῶν λόγων ὑμᾶς Λυσίας εἱστία;

ΦΑΙ. Πεύσει, εἴ σοι σχολὴ προϊόντι ἀκούειν.

Isthm. 1, 1 ΣΩ. Τί δέ; οὐκ ἂν οἴει με κατὰ Πίνδαρον 'καὶ ἀσχολίας ὑπέρτερον πρᾶγμα' ποιήσασθαι τὸ σήν τε καὶ Λυσίου διατριβὴν ἀκοῦσαι;

ΦΑΙ. Πρόαγε δή.

ΣΩ. *Λέγοις ἄν.*

ΦΑΙ. *Καὶ μήν, ὦ Σώκρατες, προσήκουσά γέ σοι ἡ ἀκοή. ὁ γάρ τοι λόγος ἦν, περὶ ὃν διετρίβομεν, οὐκ οἶδ' ὅντινα τρόπον ἐρωτικός. γέγραφεν γὰρ δὴ ὁ Λυσίας πειρώμενόν τινα τῶν καλῶν, οὐχ ὑπὸ ἐραστοῦ δέ, ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ κεκόμψευται· λέγει γὰρ ὡς χαριστέον μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι.*

ΣΩ. *Ὦ γενναῖος, εἴθε γράψειεν ὡς χρὴ πένητι* 3
μᾶλλον ἢ πλουσίῳ, καὶ πρεσβυτέρῳ ἢ νεωτέρῳ, καὶ ὅσα ἄλλα ἐμοί τε πρόσεστι καὶ τοῖς πολλοῖς ἡμῶν· ἦ γὰρ ἂν ἀστεῖοι καὶ δημωφελεῖς εἶεν οἱ λόγοι. ἔγωγ' οὖν οὕτως ἐπιτεθύμηκα ἀκοῦσαι, ὥστ' ἐὰν βαδίζων ποιῇ τὸν περίπατον Μέγαράδε καὶ κατὰ Ἡρόδικον προσβὰς τῷ τείχει πάλιν ἀπίῃς, οὐ μή σου ἀπολειφθῶ.

ΦΑΙ. *Πῶς λέγεις, ὦ βέλτιστε Σώκρατες; οἴει με, ἃ Λυσίας ἐν πολλῷ χρόνῳ κατὰ σχολὴν συνέθηκε, δεινότατος ὢν τῶν νῦν γράφειν, ταῦτα ἰδιώτην ὄντα ἀπομνημονεύσειν ἀξίως ἐκείνου; πολλοῦ γε δέω· καίτοι ἐβουλόμην γ' ἂν μᾶλλον ἢ μοι πολὺ χρυσίον γενέσθαι.*

ΣΩ. *Ὦ Φαῖδρε, εἰ ἐγὼ Φαῖδρον ἀγνοῶ, καὶ ἐμαυ-* 4
τοῦ ἐπιλέλησμαι. ἀλλὰ γὰρ οὐδέτερά ἐστι τούτων· εὖ οἶδα ὅτι Λυσίου λόγον ἀκούων ἐκεῖνος οὐ μόνον ἅπαξ ἤκουσεν, ἀλλὰ πολλάκις ἐπαναλαμβάνων ἐκέλευέν οἱ λέγειν· ὁ δὲ ἐπείθετο προθύμως. τῷ δὲ οὐδὲ ταῦτα ἦν ἱκανά, ἀλλὰ τελευτῶν παραλαβὼν τὸ βιβλίον ἃ μάλιστα ἐπεθύμει ἐπεσκόπει, καὶ τοῦτο δρῶν, ἐξ ἑωθινοῦ καθήμενος, ἀπειπὼν εἰς περίπατον ᾔειν, ὡς μὲν ἐγὼ οἶμαι, νὴ τὸν κύνα, ἐξεπιστάμενος τὸν λόγον, εἰ μὴ πάνυ τι ἦν μακρός. ἐπορεύετο δ' ἐκτὸς τείχους, ἵνα
μελετῴη. ἀπαντήσας δὲ τῷ νοσοῦντι περὶ λόγων ἀκοήν, 5

ἰδὼν μὲν ἥσθη, ὅτι ἕξοι τὸν συγκορυβαντιῶντα, καὶ προάγειν ἐκέλευε· δεομένου δὲ λέγειν τοῦ τῶν λόγων ἐραστοῦ, ἐθρύπτετο ὡς δὴ οὐκ ἐπιθυμῶν λέγειν· τελευτῶν δὲ ἔμελλε, καὶ εἰ μή τις ἑκὼν ἀκούοι, βίᾳ ἐρεῖν. σὺ οὖν, ὦ Φαῖδρε, αὐτοῦ δεήθητι, ὅπερ τάχα πάντως ποιήσει, νῦν ἤδη ποιεῖν.

6 ΦΑΙ. Ἐμοὶ ὡς ἀληθῶς πολὺ κράτιστόν ἐστιν οὕτως ὅπως δύναμαι λέγειν· ὥς μοι δοκεῖς σὺ οὐδαμῶς με ἀφήσειν, πρὶν ἂν εἴπω ἁμῶς γέ πως.

ΣΩ. *Πάνυ γάρ σοι ἀληθῆ δοκῶ.*

ΦΑΙ. *Οὑτωσὶ τοίνυν ποιήσω. τῷ ὄντι γάρ, ὦ Σώκρατες, παντὸς μᾶλλον τά γε ῥήματα οὐκ ἐξέμαθον· τὴν μέντοι διάνοιαν σχεδὸν ἁπάντων, οἷς ἔφη διαφέρειν τὰ τοῦ ἐρῶντος ἢ τὰ τοῦ μή, ἐν κεφαλαίοις ἐφεξῆς δίειμι, ἀρξάμενος ἀπὸ τοῦ πρώτου.*

7 ΣΩ. *Δείξας γε πρῶτον, ὦ φιλότης, τί ἄρα ἐν τῇ ἀριστερᾷ ἔχεις ὑπὸ τῷ ἱματίῳ. τοπάζω γάρ σε ἔχειν τὸν λόγον αὐτόν. εἰ δὲ τοῦτό ἐστιν, οὑτωσὶ διανοοῦ περὶ ἐμοῦ, ὡς ἐγώ σε πάνυ μὲν φιλῶ, παρόντος δὲ Λυσίου ἐμαυτόν σοι ἐμμελετᾶν παρέχειν οὐ πάνυ δέδοκται. ἀλλ' ἴθι, δείκνυ.*

ΦΑΙ. *Παῦε. ἐκκέκρουκάς με ἐλπίδος, ὦ Σώκρατες, ἣν εἶχον ἐν σοὶ ὡς ἐγγυμνασόμενος. ἀλλὰ ποῦ δὴ βούλει καθιζόμενοι ἀναγνῶμεν;*

ΣΩ. *Δεῦρ' ἐκτραπόμενοι κατὰ τὸν Ἰλισὸν ἴωμεν, εἶτα ὅπου ἂν δόξῃ ἐν ἡσυχίᾳ καθιζησόμεθα.*

8 ΦΑΙ. *Εἰς καιρόν, ὡς ἔοικεν, ἀνυπόδητος ὢν ἔτυχον· σὺ μὲν γὰρ δὴ ἀεί. ῥᾷστον οὖν ἡμῖν κατὰ τὸ ὑδάτιον βρέχουσι τοὺς πόδας ἰέναι, καὶ οὐκ ἀηδές, ἄλλως τε καὶ τήνδε τὴν ὥραν τοῦ ἔτους τε καὶ τῆς ἡμέρας.*

ΣΩ. *Πρόαγε δή, καὶ σκόπει ἅμα ὅπου καθιζησόμεθα.*

ΦΑΙ. *Ὁρᾷς οὖν ἐκείνην τὴν ὑψηλοτάτην πλάτανον;*

ΣΩ. *Τί μήν;*

ΦΑΙ. *Ἐκεῖ σκιά τ' ἐστὶ καὶ πνεῦμα μέτριον, καὶ πόα καθίζεσθαι ἢ ἂν βουλώμεθα κατακλινῆναι.*

ΣΩ. *Προάγοις ἄν.*

ΦΑΙ. *Εἰπέ μοι, ὦ Σώκρατες, οὐκ ἐνθένδε μέντοι* 9
ποθὲν ἀπὸ τοῦ Ἰλισοῦ λέγεται ὁ Βορέας τὴν Ὠρείθυιαν ἁρπάσαι;

ΣΩ. *Λέγεται γάρ.*

ΦΑΙ. *Ἆρ' οὖν ἐνθένδε; χαρίεντα γοῦν καὶ καθαρὰ καὶ διαφανῆ τὰ ὑδάτια φαίνεται, καὶ ἐπιτήδεια κόραις παίζειν παρ' αὐτά.*

ΣΩ. *Οὔκ, ἀλλὰ κάτωθεν ὅσον δύ' ἢ τρία στάδια, ᾗ πρὸς τὸ τῆς Ἄγρας διαβαίνομεν· καί πού τίς ἐστι βωμὸς αὐτόθι Βορέου.*

ΦΑΙ. *Οὐ πάνυ νενόηκα· ἀλλ' εἰπὲ πρὸς Διός, ὦ Σώκρατες· σὺ τοῦτο τὸ μυθολόγημα πείθει ἀληθὲς εἶναι;*

ΣΩ. *Ἀλλ' εἰ ἀπιστοίην, ὥσπερ οἱ σοφοί, οὐκ ἂν* 10
ἄτοπος εἴην· εἶτα σοφιζόμενος φαίην ἂν αὐτὴν πνεῦμα Βορέου κατὰ τῶν πλησίον πετρῶν σὺν Φαρμακείᾳ παίζουσαν ὦσαι, καὶ οὕτω δὴ τελευτήσασαν λεχθῆναι ὑπὸ τοῦ Βορέου ἀνάρπαστον γεγονέναι. ἐγὼ δέ, ὦ Φαῖδρε, ἄλλως μὲν τὰ τοιαῦτα χαρίεντα ἡγοῦμαι, λίαν δὲ δεινοῦ καὶ ἐπιπόνου καὶ οὐ πάνυ εὐτυχοῦς ἀνδρός, κατ' ἄλλο μὲν οὐδέν, ὅτι δ' αὐτῷ ἀνάγκη μετὰ τοῦτο τὸ τῶν Ἱπποκενταύρων εἶδος ἐπανορθοῦσθαι, καὶ αὖθις τὸ τῆς Χιμαίρας, καὶ ἐπιρρεῖ δὲ ὄχλος τοιούτων Γοργόνων καὶ Πηγάσων καὶ ἄλλων ἀμηχάνων πλήθει τε

11 *καὶ ἀτοπίᾳ τερατολόγων τινῶν φύσεων· αἷς εἴ τις ἀπι-
στῶν προσβιβᾷ κατὰ τὸ εἰκὸς ἕκαστον, ἅτε ἀγροίκῳ
τινὶ σοφίᾳ χρώμενος, πολλῆς αὐτῷ σχολῆς δεήσει. ἐμοὶ
δὲ πρὸς αὐτὰ οὐδαμῶς ἐστι σχολή· τὸ δὲ αἴτιον, ὦ
φίλε, τούτου τόδε· οὐ δύναμαί πω κατὰ τὸ Δελφικὸν
γράμμα γνῶναι ἐμαυτόν· γελοῖον δή μοι φαίνεται,
τοῦτο ἔτι ἀγνοοῦντα τὰ ἀλλότρια σκοπεῖν. ὅθεν δὴ
χαίρειν ἐάσας ταῦτα, πειθόμενος δὲ τῷ νομιζομένῳ
περὶ αὐτῶν, ὃ νῦν δὴ ἔλεγον, σκοπῶ οὐ ταῦτα ἀλλὰ
ἐμαυτόν, εἴτε τι θηρίον τυγχάνω Τυφῶνος πολυπλο-
κώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν
τε καὶ ἁπλούστερον ζῷον, θείας τινὸς καὶ ἀτύφου μοί-*
12 *ρας φύσει μετέχον. ἀτάρ, ὦ ἑταῖρε, μεταξὺ τῶν λό-
γων, ἆρ' οὐ τόδε ἦν τὸ δένδρον, ἐφ' ὅπερ ἦγες ἡμᾶς;*

ΦΑΙ. *Τοῦτο μὲν οὖν αὐτό.*

ΣΩ. *Νὴ τὴν Ἥραν, καλή γε ἡ καταγωγή. ἥ τε
γὰρ πλάτανος αὕτη μάλ' ἀμφιλαφής τε καὶ ὑψηλή, τοῦ
τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον, καὶ ὡς
ἀκμὴν ἔχει τῆς ἄνθης, ὡς ἂν εὐωδέστατον παρέχοι τὸν
τόπον· ἥ τε αὖ πηγὴ χαριεστάτη ὑπὸ τῆς πλατάνου
ῥεῖ μάλα ψυχροῦ ὕδατος, ὥστε γε τῷ ποδὶ τεκμήρα-
σθαι· Νυμφῶν τέ τινων καὶ Ἀχελῴου ἱερὸν ἀπὸ τῶν*
13 *κορῶν τε καὶ ἀγαλμάτων ἔοικεν εἶναι. εἰ δ' αὖ βούλει,
τὸ εὔπνουν τοῦ τόπου ὡς ἀγαπητὸν καὶ σφόδρα ἡδύ·
θερινόν τε καὶ λιγυρὸν ὑπηχεῖ τῷ τῶν τεττίγων χορῷ.
πάντων δὲ κομψότατον τὸ τῆς πόας, ὅτι ἐν ἠρέμα
προσάντει ἱκανὴ πέφυκε κατακλινέντι τὴν κεφαλὴν παγ-
κάλως ἔχειν. ὥστε ἄριστά σοι ἐξενάγηται, ὦ φίλε
Φαῖδρε.*

ΦΑΙ. *Σὺ δέ γε, ὦ θαυμάσιε, ἀτοπώτατός τις φαί-
νει. ἀτεχνῶς γάρ, ὃ λέγεις, ξεναγουμένῳ τινὶ καὶ οὐκ*

ἐπιχωρίῳ ἔοικας· οὕτως ἐκ τοῦ ἄστεως οὔτ' εἰς τὴν ὑπερορίαν ἀποδημεῖς, οὔτ' ἔξω τείχους ἔμοιγε δοκεῖς τὸ παράπαν ἐξιέναι.

ΣΩ. Συγγίγνωσκέ μοι, ὦ ἄριστε. φιλομαθὴς γάρ 14
εἰμι· τὰ μὲν οὖν χωρία καὶ τὰ δένδρα οὐδέν μ' ἐθέλει διδάσκειν, οἱ δ' ἐν τῷ ἄστει ἄνθρωποι. σὺ μέντοι δοκεῖς μοι τῆς ἐξόδου τὸ φάρμακον εὑρηκέναι. ὥσπερ γὰρ οἱ τὰ πεινῶντα θρέμματα θαλλὸν ἤ τινα καρπὸν προσείοντες ἄγουσι, σὺ ἐμοὶ λόγους οὕτω προτείνων ἐν βιβλίοις τήν τε Ἀττικὴν φαίνει περιάξειν ἅπασαν καὶ ὅποι ἂν ἄλλοσε βούλῃ. νῦν οὖν ἐν τῷ παρόντι δεῦρ' ἀφικόμενος ἐγὼ μέν μοι δοκῶ κατακείσεσθαι, σὺ δ' ἐν ὁποίῳ σχήματι οἴει ῥᾷστα ἀναγνώσεσθαι, τοῦθ' ἑλόμενος ἀναγίγνωσκε.

ΦΑΙ. Ἄκουε δή.

CLAVDIVS AELIANVS

Praenestinus floruit circa annum p. Chr. 200. quamquam extra Italiae fines vix unquam egressus est, tamen Graecarum litterarum et amantissimus et peritissimus fuit. scripsit variae historiae libros XIV, de animalium natura libros XVII, alia.

X. Describuntur Tempe Thessalica.

(Var. hist. III 1.)

Φέρε οὖν καὶ τὰ καλούμενα Τέμπη τὰ Θετταλικὰ 1
διαγράψωμεν τῷ λόγῳ καὶ διαπλάσωμεν· ἔστι δὴ χῶρος μεταξὺ κείμενος τοῦ τε Ὀλύμπου καὶ τῆς Ὄσσης. ὄρη δὲ ταῦτά ἐστιν ὑπερύψηλα καὶ οἷον ὑπό τινος θείας φροντίδος διεσχισμένα καὶ μέσον δέχεται χωρίον, οὗ τὸ μὲν μῆκος ἐπὶ τεσσαράκοντα διήκει σταδίους, τό γε μὴν πλάτος τῇ μέν ἐστι πλέθρου, τῇ δὲ καὶ μεῖζον

2 ὀλίγῳ. διαρρεῖ δὲ μέσου αὐτοῦ ὁ καλούμενος Πηνειός·
ἐς τοῦτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ συρρέουσι καὶ ἀνα-
κοινοῦνται τὸ ὕδωρ αὐτῷ καὶ ἐργάζονται τὸν Πηνειὸν
ἐκεῖνοι μέγαν. διατριβὰς δ' ἔχει ποικίλας καὶ παντο-
δαπὰς ὁ τόπος οὗτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα,
ἀλλὰ φύσεως αὐτόματα ἐς κάλλος τότε φιλοτιμησαμένης,
3 ὅτε ἐλάμβανε γένεσιν ὁ χῶρος. κιττὸς μὲν γὰρ πολὺς
καὶ εὖ μάλα λάσιος ἐνακμάζει καὶ τέθηλε καὶ δίκην
τῶν εὐγενῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων
ἀνέρπει καὶ συμπέφυκεν αὐτοῖς, πολλὴ δὲ σμῖλαξ πρὸς
αὐτὸν τὸν πάγον ἀνατρέχει καὶ ἐπισκιάζει τὴν πέτραν·
καὶ ἐκείνη μὲν ὑπολανθάνει, ὁρᾶται δὲ τὸ χλοάζον
πᾶν, καὶ ἔστιν ὀφθαλμῶν πανήγυρις. ἐν αὐτοῖς δὲ
τοῖς λείοις καὶ καθειμένοις ἄλση τέ ἐστι ποικίλα καὶ
ὑποδρομαὶ συνεχεῖς, ἐν ὥρᾳ θέρους καταφυγεῖν ὁδοι-
πόροις ἥδιστα καταγώγια, ἃ καὶ δίδωσιν ἀσμένως ψυ-
4 χάσαι. διαρρέουσι δὲ καὶ κρῆναι συχναί, καὶ ἐπιρρεῖ
νάματα ὑδάτων ψυχρῶν καὶ πιεῖν ἡδίστων. λέγεται
δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λουσαμένοις ἀγαθὸν εἶναι
5 καὶ ἐς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. κατᾴδουσι δὲ
καὶ ὄρνιθες ἄλλος ἄλλῃ διεσπαρμένοι, καὶ μάλιστα οἱ
μουσικοί, καὶ ἑστιῶσιν εὖ μάλα τὰς ἀκοὰς καὶ παρα-
πέμπουσιν ἀπόνως καὶ σὺν ἡδονῇ, διὰ τοῦ μέλους τὸν
6 κάματον τῶν παριόντων ἀφανίσαντες. παρ' ἑκάτερα
δὲ τοῦ ποταμοῦ αἱ διατριβαί εἰσιν αἱ προειρημέναι
καὶ αἱ ἀνάπαυλαι. διὰ μέσων δὲ τῶν Τεμπῶν ὁ Πη-
νειὸς ποταμὸς ἔρχεται, σχολῇ καὶ πρᾴως προϊὼν ἐλαίου
δίκην, πολλὴ δὲ κατ' αὐτοῦ ἡ σκιὰ ἐκ τῶν παραπεφυ-
κότων δένδρων καὶ τῶν ἐξηρτημένων κλάδων τίκτεται,
ὡς ἐπὶ πλεῖστον τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀπο-
στέγειν τὴν ἀκτῖνα καὶ παρέχειν τοῖς πλέουσι πλεῖν

κατὰ ψῦχος. πᾶς δὲ ὁ περίοικος λεὼς συνίασιν ἄλλοι 7
σὺν ἄλλοις καὶ θύουσι καὶ συνουσίας ποιοῦνται καὶ
συμπίνουσιν. ἅτε οὖν πολλῶν ὄντων τῶν θυόντων
καὶ τῶν καθαγιζόντων συνεχῶς, εἰκότως καὶ τοῖς βα-
δίζουσι καὶ τοῖς πλέουσιν ὀσμαὶ συμπαρομαρτοῦσιν
ἥδισται. οὕτως ἄρα ἡ τιμὴ ἡ διαρκὴς ἡ περὶ τὸ κρεῖτ-
τον ἐκθεοῖ τὸν τόπον.

Ἐνταῦθά τοί φασι παῖδες Θετταλῶν καὶ τὸν Ἀπόλ- 8
λωνα τὸν Πύθιον καθήρασθαι κατὰ πρόσταγμα τοῦ
Διός, ὅτε τὸν Πύθωνα τὸν δράκοντα κατετόξευσεν
φυλάττοντα τοὺς Δελφούς, τῆς Γῆς ἔτι ἐχούσης τὸ
μαντεῖον. στεφανωσάμενον οὖν ἐκ ταύτης τῆς δάφνης
τῆς Τεμπικῆς καὶ λαβόντα κλάδον ἐς τὴν δεξιὰν χεῖρα
ἐκ τῆς αὐτῆς δάφνης ἐλθεῖν εἰς Δελφοὺς καὶ παρα-
λαβεῖν τὸ μαντεῖον τὸν Διὸς καὶ Λητοῦς παῖδα. ἔστι 9
δὲ καὶ βωμὸς ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ καὶ ἐστεφανώ-
σατο καὶ τὸν κλάδον ἀφεῖλε. καὶ ἔτι καὶ νῦν δι' ἔτους
ἐνάτου οἱ Δελφοὶ παῖδας εὐγενεῖς πέμπουσι καὶ ἀρχι-
θέωρον ἕνα σφῶν αὐτῶν. οἱ δὲ παραγενόμενοι καὶ
μεγαλοπρεπῶς θύσαντες ἐν τοῖς Τέμπεσιν ἀπίασι πάλιν
στεφάνους ἀπὸ τῆς αὐτῆς δάφνης διαπλέξαντες, ἀφ'
ἧσπερ οὖν καὶ τότε ὁ θεὸς ἐστεφανώσατο. καὶ τὴν 10
ὁδὸν ἐκείνην ἔρχονται, ἣ καλεῖται μὲν Πυθιάς, φέρει
δὲ διὰ Θετταλίας καὶ Πελασγίας καὶ τῆς Οἴτης καὶ τῆς
Αἰνιάνων χώρας καὶ τῆς Μηλιέων καὶ Δωριέων καὶ
Λοκρῶν τῶν Ἑσπερίων. οὗτοι δὲ καὶ παραπέμπουσιν
αὐτοὺς σὺν αἰδοῖ καὶ τιμῇ οὐδὲν ἧττον ἥπερ οὖν ἐκεῖνοι,
οἳ τοὺς ἐξ Ὑπερβορέων τὰ ἱερὰ κομίζοντας τῷ αὐτῷ
θεῷ τούτῳ τιμῶσι. καὶ μὴν καὶ τοῖς Πυθίοις ἐκ ταύ-
της τῆς δάφνης τοὺς στεφάνους τοῖς νικῶσι διδόασιν.

DIO

cui cognomen est Chrysostomo, Prusae in oppido Bithyniae parentibus nobilissimis natus philosophiae et arti dicendi operam dedit. a Vespasiano Romam accitus, expulsus in exsilium a Domitiano post magna itinera a Nerva in urbem revocatus est; extremam aetatem in patria egit in scribendis occupatus orationibus, quarum LXXIX exstant.

XI. Lepida vitae agrestis hominumque frugi descriptio.

(or. VII.)

Casa, in quam ab oratore ducimur, prope promuntorium Euboeae Caphareum est, unde Nauplius pater Palamedis olim fallacibus signis naufragium Graecorum ex bello Troiano in patriam redeuntium dicitur effecisse (II 7); vicina urbs (I 10) Carystus est; insula castaneis (*αἱ εὐβοΐδες* III 7) celebris est. I 7 *βασιλεύς* dicitur imperator Romanus.

I Τόδε μὴν αὐτὸς ἰδών, οὐ παρ' ἑτέρων ἀκούσας διηγήσομαι.

Ἐτύγχανον μὲν ἀπὸ Χίου περαιούμενος μετά τινων ἁλιέων ἔξω τῆς θερινῆς ὥρας ἐν μικρῷ παντελῶς ἀκατίῳ. χειμῶνος δὲ γενομένου χαλεπῶς καὶ μόλις διεσώθημεν πρὸς τὰ κοῖλα τῆς Εὐβοίας· τὸ μὲν δὴ ἀκάτιον εἰς τραχύν τινα αἰγιαλὸν ὑπὸ τοῖς κρημνοῖς ἐκβαλόντες διέφθειραν, αὐτοὶ δὲ ἀπεχώρησαν πρός τινας πορφυρεῖς ὑφορμοῦντας ἐπὶ τῇ πλησίον χηλῇ, κἀκείνοις συν-
2 εργάζεσθαι διενοοῦντο αὐτοῦ μένοντες. καταλειφθεὶς δὴ μόνος, οὐκ ἔχων εἰς τίνα πόλιν σωθήσομαι, παρὰ τὴν θάλατταν ἄλλως ἐπλανώμην, εἴ πού τινας ἢ παραπλέοντας ἢ ὁρμοῦντας ἴδοιμι. προεληλυθὼς δὲ συχνὸν ἀνθρώπων μὲν οὐδένα ἑώρων· ἐπιτυγχάνω δὲ ἐλάφῳ νεωστὶ κατὰ τοῦ κρημνοῦ πεπτωκότι παρ' αὐτὴν τὴν ῥαχίαν, ὑπὸ τῶν κυμάτων παιομένῳ, φυσῶντι ἔτι. καὶ μετ' ὀλίγον ἔδοξα ὑλακῆς ἀκοῦσαι κυνῶν ἄνωθεν μόλις

πως διὰ τὸν ἦχον τὸν ἀπὸ τῆς θαλάττης. προελθὼν
δὲ καὶ προβὰς πάνυ χαλεπῶς πρός τι ὑψηλὸν τούς τε
κύνας ὁρῶ ἠπορημένους καὶ διαθέοντας, ὑφ' ὧν εἴκα-
ζον ἀποβιασθὲν τὸ ζῷον ἁλέσθαι κατὰ τοῦ κρημνοῦ,
καὶ μετ' ὀλίγον ἄνδρα, κυνηγέτην ἀπὸ τῆς ὄψεως καὶ 3
τῆς στολῆς, τὰ γένεια ὑγιᾶ, κομῶντα οὐ φαύλως οὐδὲ
ἀγεννῶς ἐξόπισθεν. καὶ ὃς ἀνηρώτα με· ‘Ἀλλ' ἦ, ὦ
ξένε, τῇδέ που φεύγοντα ἔλαφον κατενόησας;’ κἀγὼ
πρὸς αὐτόν· ‘Ἐκεῖνος’, ἔφην, ‘ἐν τῷ κλύδωνι ἤδη’·
καὶ ἀγαγὼν ἔδειξα. ἑλκύσας οὖν αὐτὸν ἐκ τῆς θαλάτ-
της τό τε δέρμα ἐξέδειρε μαχαίρᾳ, κἀμοῦ συλλαμβά-
νοντος ὅσον οἷός τε ἦν, καὶ τῶν σκελῶν ἀποτεμὼν τὰ
ὀπίσθια ἐκόμιζεν ἅμα τῷ δέρματι. παρεκάλει δὲ κἀμὲ 4
συνακολουθεῖν καὶ συνεστιᾶσθαι τῶν κρεῶν· εἶναι δὲ
οὐ μακρὰν τὴν οἴκησιν. ‘Ἔπειτα ἕωθεν παρ' ἡμῖν’,
ἔφη, ‘κοιμηθεὶς ἥξεις ἐπὶ τὴν θάλατταν, ὡς τά γε νῦν
οὐκ ἔστι πλώιμα. καὶ μὴ τοῦτο’, εἶπε, ‘φοβηθῇς. βου-
λοίμην δ' ἂν ἔγωγε καὶ μετὰ πέντε ἡμέρας λῆξαι τὸν
ἄνεμον· ἀλλ' οὐ ῥᾴδιον’, εἶπεν, ‘ὅταν οὕτω πιεσθῇ τὰ
ἄκρα τῆς Εὐβοίας ὑπὸ τῶν νεφῶν, ὥς γε νῦν κατει-
λημμένα ὁρᾷς.’ ἐγὼ δὲ ἄσμενος ἠκολούθουν· οὐ γὰρ 5
ἐπιβουλευθῆναί ποτε ἔδεισα, οὐδὲν ἔχων ἢ φαῦλον
ἱμάτιον. ἦν δὲ σχεδόν τι περὶ τὰ τετταράκοντα στάδια
πρὸς τὸ χωρίον. ὡς οὖν ἐβαδίζομεν, διηγεῖτό μοι κατὰ
τὴν ὁδὸν τὰ αὑτοῦ πράγματα καὶ τὸν βίον ὃν ἔζη μετὰ
γυναικὸς αὑτοῦ καὶ παίδων.

‘Ἡμεῖς γάρ’, ἔφη, ‘δύο ἐσμέν, ὦ ξένε, τὸν αὐτὸν οἰ- 6
κοῦντες τόπον. ἔχομεν δὲ γυναῖκας ἀλλήλων ἀδελφὰς
καὶ παῖδας ἐξ αὐτῶν υἱοὺς καὶ θυγατέρας. ζῶμεν δὲ
ἀπὸ θήρας ὡς τὸ πολύ, μικρόν τι τῆς γῆς ἐπεργαζό-
μενοι. τὸ γὰρ χωρίον οὐκ ἔστιν ἡμέτερον, οὔτε πα-

τρόφον οὔτε ἡμεῖς ἐκτησάμεθα· ἀλλὰ ἦσαν οἱ πατέρες ἡμῶν ἐλεύθεροι μέν, πένητες δὲ οὐχ ἧττον ἡμῶν, μισθοῦ βουκόλοι, βοῦς νέμοντες ἀνδρὸς μακαρίου τῶν ἐνθένδε τινὸς ἐκ τῆς νήσου, πολλὰς μὲν ἀγέλας καὶ ἵππων καὶ βοῶν κεκτημένου, πολλὰς δὲ ποίμνας, πολλοὺς δὲ καὶ καλοὺς ἀγρούς, πολλὰ δὲ καὶ ἄλλα χρή-
7 ματα, σύμπαντα δὲ ταῦτα τὰ ὄρη. οὗ δὴ ἀποθανόντος καὶ τῆς οὐσίας δημευθείσης (φασὶ δὲ καὶ αὐτὸν ἀπολέσθαι διὰ τὰ χρήματα ὑπὸ τοῦ βασιλέως) τὴν μὲν ἀγέλην εὐθὺς ἀπήλασαν, ὥστε κατακόψαι, πρὸς δὲ τῇ ἀγέλῃ καὶ τὰ ἡμέτερα ἄττα βοίδια, καὶ τὸν μισθὸν οὐδεὶς ἀποδέδωκε. τότε μὲν δὴ ἐξ ἀνάγκης αὐτοῦ κατέμειναν, μάλιστα δ' ἐν τούτῳ τῷ τόπῳ τὸν σταθμὸν
8 ἐποιοῦντο· τό τε γὰρ χωρίον ἀπόρρυτον, ἑκατέρωθεν δὲ φάραγξ βαθεῖα καὶ σύσκιος, καὶ διὰ μέσου ποταμὸς οὐ τραχύς, ἀλλ' ὡς ῥᾷστος ἐμβῆναι καὶ βουσὶ καὶ μόσχοις, τὸ δὲ ὕδωρ πολὺ καὶ καθαρόν, ἅτε τῆς πηγῆς ἐγγὺς ἀναδιδούσης, καὶ πνεῦμα τοῦ θέρους ἀεὶ διαπνέον διὰ τῆς φάραγγος· οἵ τε περικείμενοι δρυμοὶ μαλακοὶ καὶ κατάρρυτοι, ἥκιστα μὲν οἶστρον τρέφοντες, ἥκιστα δὲ ἄλλην τινὰ βλάβην βουσί. πολλοὶ δὲ καὶ πάγκαλοι λειμῶνες ὑπὸ ὑψηλοῖς τε καὶ ἀραιοῖς δένδρεσιν ἀνειμένοι, καὶ πάντα μεστὰ βοτάνης εὐθαλοῦς δι' ὅλου τοῦ θέρους, ὥστε μὴ πολὺν πλανᾶσθαι τόπον.
9 ὧν δὴ ἕνεκα συνήθως ἐκεῖ καθίστασαν τὴν ἀγέλην· καὶ σχολὴν ἄγοντες ἀπὸ τῶν βοῶν πρὸς θήραν ἐτράπησαν, τὸ μὲν αὐτοί, τὸ δὲ καὶ μετὰ κυνῶν. χειμῶνος δὲ ἐπελθόντος ἔργον μὲν οὐδὲν ἦν πεφηνὸς αὐτοῖς, οὔτε εἰς ἄστυ καταβᾶσιν οὔτε εἰς κώμην τινά· φραξάμενοι δὲ τὰς σκηνὰς ἐπιμελέστερον καὶ τὴν αὐλὴν πυκνοτέραν ποιήσαντες, οὕτω διεγένοντο, καὶ τὸ χω-

ρίον ἐκεῖνο πᾶν εἰργάσαντο, καὶ τῆς θήρας ἡ χειμε-
ρινὴ ῥᾴων ἐγίγνετο. οὕτω δὴ τὸ ἀπ' ἐκείνου διέμειναν,
οὐδὲν ἔτι προσδεηθέντες ἄλλου βίου. καὶ ἡμῖν συν-
έζευξαν γυναῖκας τοῖς ἀλλήλων υἱέσιν ἑκάτερος τὴν
αὑτοῦ θυγατέρα. τεθνήκασι δὲ ἀμφότεροι πέρυσι σχε-
δόν, τὰ μὲν ἔτη πολλὰ λέγοντες ἃ ἐβεβιώκεσαν, ἰσχυ-
ροὶ δὲ ἔτι καὶ νέοι καὶ γενναῖοι τὰ σώματα. τῶν δὲ
μητέρων ἡ ἐμὴ περίεστιν. ὁ μὲν οὖν ἕτερος ἡμῶν
οὐδεπώποτε εἰς πόλιν κατέβη, πεντήκοντα ἔτη γεγονώς·
ἐγὼ δὲ δὶς μόνον, ἅπαξ μὲν ἔτι παῖς μετὰ τοῦ πατρός,
ὁπηνίκα τὴν ἀγέλην εἴχομεν. ὕστερον δὲ ἧκέ τις ἀρ-
γύριον αἰτῶν, ὥσπερ ἔχοντάς τι, κελεύων ἀκολουθεῖν
εἰς τὴν πόλιν. ἡμῖν δὲ ἀργύριον μὲν οὐκ ἦν, ἀλλ'
ἀπωμοσάμην μὴ ἔχειν· εἰ δὲ μή, δεδωκέναι ἄν. ἐξενί-
σαμεν δὲ αὐτὸν ὡς ἐδυνάμεθα κάλλιστα καὶ δύο ἐλά-
φεια δέρματα ἐδώκαμεν· κἀγὼ ἠκολούθησα εἰς τὴν
πόλιν. ἔφη γὰρ ἀνάγκην εἶναι τὸν ἕτερον ἐλθεῖν καὶ
διδάξαι περὶ τούτων.

Εἶδον οὖν, οἷα καὶ πρότερον, οἰκίας πολλὰς καὶ II
μεγάλας καὶ τεῖχος ἔξωθεν καρτερὸν καὶ οἰκήματά τινα
ὑψηλὰ καὶ τετράγωνα ἐν τῷ τείχει τοὺς πύργους καὶ
πλοῖα πολλὰ ὁρμοῦντα, ὥσπερ ἐν λίμνῃ, τῷ λιμένι
κατὰ πολλὴν ἡσυχίαν. τοῦτο δὲ ἐνθάδε οὐκ ἔστιν
οὐδαμοῦ, ὅπου κατηνέχθης· καὶ διὰ τοῦτο αἱ νῆες
ἀπόλλυνται. ταῦτα οὖν ἑώρων καὶ πολὺν ὄχλον ἐν
ταὐτῷ συνειργμένον καὶ θόρυβον ἀμήχανον καὶ κραυ-
γήν· ὥστε ἐμοὶ ἐδόκουν πάντες μάχεσθαι ἀλλήλοις.
ἄγει οὖν με πρός τινας ἄρχοντας καὶ εἶπε γελῶν· 2
"Οὗτός ἐστιν, ἐφ' ὃν με ἐπέμψατε. ἔχει δὲ οὐδὲν εἰ
μή γε τὴν κόμην καὶ σκηνὴν μάλα ἰσχυρῶν ξύλων."
οἱ δὲ ἄρχοντες εἰς τὸ θέατρον ἐβάδιζον, κἀγὼ σὺν

αὐτοῖς. τὸ δὲ θέατρόν ἐστιν ὥσπερ φάραγξ κοῖλον,
πλὴν οὐ μακρὸν ἑκατέρωθεν, ἀλλὰ στρογγύλον ἐξ ἡμί-
σους, οὐκ αὐτόματον, ἀλλ' ᾠκοδομημένον λίθοις. ἴσως
δέ μου καταγελᾷς, ὅτι σοι διηγοῦμαι σαφῶς εἰδότι
3 ταῦτα. πρῶτον μὲν οὖν πολύν τινα χρόνον ἄλλα τινὰ
ἔπραττεν ὁ ὄχλος, καὶ ἐβόων ποτὲ μὲν πρᾴως καὶ ἱλα-
ρῶς πάντες, ἐπαινοῦντές τινας, ποτὲ δὲ σφόδρα ὀργί-
λως. ἦν δὲ τοῦτο χαλεπὸν τὸ τῆς ὀργῆς αὐτῶν· καὶ
τοὺς ἀνθρώπους εὐθὺς ἐξέπληττον οἷς ἐνέκραγον· ὥστε
οἱ μὲν αὐτῶν περιτρέχοντες ἐδέοντο, οἱ δὲ τὰ ἱμάτια
ἐρρίπτουν ὑπὸ τοῦ φόβου. ἐγὼ δὲ καὶ αὐτὸς ἅπαξ
ὀλίγου κατέπεσον ὑπὸ τῆς κραυγῆς, ὥσπερ κλύδωνος
4 ἐξαίφνης ἢ βροντῆς ἐπιρραγείσης. ἐπεὶ δὲ ἡσυχία ἐγέ-
νετο, παρήγαγον κἀμέ. καὶ εἶπέ τις· "Οὗτός ἐστιν,
ὦ ἄνδρες, τῶν καρπουμένων τὴν δημοσίαν γῆν πολλὰ
ἔτη οὐ μόνον αὐτός, ἀλλὰ καὶ ὁ πατὴρ αὐτοῦ πρό-
τερον, καὶ κατανέμουσι τὰ ἡμέτερα ὄρη καὶ γεωργοῦσι
καὶ θηρεύουσι καὶ οἰκίας ἐνῳκοδομήκασι πολλὰς καὶ
ἀμπέλους ἐμπεφυτεύκασι καὶ ἄλλα πολλὰ ἔχουσιν
ἀγαθά, οὔτε τιμὴν καταβαλόντες οὐδενὶ τῆς γῆς οὔτε
δωρειὰν παρὰ τοῦ δήμου λαβόντες. ὑπὲρ τίνος γὰρ
5 ἂν καὶ ἔλαβον; ἔχοντες δὲ τὰ ἡμέτερα καὶ πλουτοῦντες
οὔτε λειτουργίαν πώποτε ἐλειτούργησαν οὐδεμίαν οὔτε
μοῖράν τινα ὑποτελοῦσι τῶν γιγνομένων, ἀλλ' ἀτελεῖς
καὶ ἀλειτούργητοι διατελοῦσιν, ὥσπερ εὐεργέται τῆς
πόλεως. οἶμαι δέ", ἔφη, "μηδὲ ἐληλυθέναι πώποτε
αὐτοὺς ἐνθάδε." κἀγὼ ἀνένευσα. ὁ δὲ ὄχλος ἐγέλασεν,
ὡς εἶδε. καὶ ὁ λέγων ἐκεῖνος ὠργίσθη ἐπὶ τῷ γέλωτι·
"Εἰ οὖν", ἔφη, "δοκεῖ ταῦτα οὕτως, οὐκ ἂν φθάνοιμεν
ἅπαντες τὰ κοινὰ διαρπάσαντες, οἱ μὲν τὰ χρήματα
τῆς πόλεως, ὥσπερ ἀμέλει καὶ νῦν ποιοῦσί τινες, οἱ

δὲ τὴν χώραν κατανειμάμενοι μὴ πείσαντες ὑμᾶς, ἐὰν ἐπιτρέψητε τοῖς θηρίοις τούτοις προῖκα ἔχειν πλέον ἢ χίλια πλέθρα γῆς τῆς ἀρίστης, ὅθεν ὑμῖν ἔστι τρεῖς χοίνικας Ἀττικὰς σίτου λαμβάνειν κατ' ἄνδρα." ἐγὼ 9
δὲ ἀκούσας ἐγέλασα ὅσον ἐδυνάμην μέγιστον. τὸ δὲ πλῆθος οὐκ ἐγέλων, ὥσπερ πρότερον, ἀλλ' ἐθορύβουν. ὁ δὲ ἄνθρωπος ὁ ῥήτωρ ἐχαλέπαινε καὶ δεινὸν ἐμβλέψας εἰς ἐμὲ εἶπεν· "Ὁρᾶτε τὴν εἰρωνείαν καὶ τὴν ὕβριν τοῦ καθάρματος, ὡς καταγελᾷ πάνυ θρασέως; ὃν ἀπάγειν ὀλίγου δέω καὶ τὸν κοινωνὸν αὐτοῦ. πυνθάνομαι γὰρ δύο εἶναι τοὺς κορυφαίους τῶν κατειληφότων ἅπασαν σχεδὸν τὴν ἐν τοῖς ὄρεσι χώραν. οἶμαι γὰρ αὐτοὺς μηδὲ τῶν ναυαγίων ἀπέχεσθαι τῶν ἑκάστοτε ἐκπιπτόντων, ὑπὲρ αὐτὰς σχεδόν τι τὰς Καφηρίδας οἰκοῦντας. πόθεν γὰρ οὕτω πολυτελεῖς ἀγρούς, μᾶλ- 7
λον δὲ ὅλας κώμας κατεσκευάσαντο καὶ τοσοῦτον πλῆθος βοσκημάτων καὶ ζεύγη καὶ ἀνδράποδα; καὶ ὑμεῖς δὲ ἴσως ὁρᾶτε αὐτοῦ τὴν ἐξωμίδα, ὡς φαύλη, καὶ τὸ δέρμα, ὃ ἐλήλυθε δεῦρο ἐναψάμενος τῆς ὑμετέρας ἕνεκεν ἀπάτης, ὡς πτωχὸς δηλονότι καὶ οὐδὲν ἔχων. ἐγὼ μὲν γάρ", ἔφη, "βλέπων αὐτὸν μικροῦ δέδοικα, ὥσπερ οἶμαι τὸν Ναύπλιον ὁρῶν ἀπὸ τοῦ Καφηρέως ἥκοντα. καὶ γὰρ οἶμαι πυρσεύειν αὐτὸν ἀπὸ τῶν ἄκρων τοῖς πλέουσιν, ὅπως ἐκπίπτωσιν εἰς τὰς πέτρας."

Ταῦτα δὲ ἐκείνου λέγοντος καὶ πολλὰ πρὸς τούτοις 8
ὁ μὲν ὄχλος ἠγριοῦτο· ἐγὼ δὲ ἠπόρουν καὶ ἐδεδοίκειν μή τί με ἐργάσωνται κακόν. παρελθὼν δ' ἄλλος τις, ὡς ἐφαίνετο ἐπιεικὴς ἄνθρωπος ἀπό τε τῶν λόγων οὓς εἶπε καὶ ἀπὸ τοῦ σχήματος, πρῶτον μὲν ἠξίου σιωπῆσαι τὸ πλῆθος· καὶ ἐσιώπησαν· ἔπειτα εἶπε τῇ φωνῇ πρᾴως, ὅτι οὐδὲν ἀδικοῦσιν οἱ τὴν ἀργὸν τῆς

χώρας ἐργαζόμενοι καὶ κατασκευάζοντες, ἀλλὰ τοὐναν-
τίον ἐπαίνου δικαίως ἂν τυγχάνοιεν· καὶ δεῖ μὴ τοῖς
οἰκοδομοῦσι καὶ φυτεύουσι τὴν δημοσίαν γῆν χαλεπῶς
9 ἔχειν, ἀλλὰ τοῖς καταφθείρουσιν. "ἐπεὶ καὶ νῦν", ἔφη, "ὦ
ἄνδρες, σχεδόν τι τὰ δύο μέρη τῆς χώρας ἡμῶν ἔρημά
ἐστι δι' ἀμέλειάν τε καὶ ὀλιγανθρωπίαν. οὐκοῦν ἄξιον
θαυμάσαι τῶν ῥητόρων, ὅτι τοὺς μὲν ἐπὶ τῷ Καφηρεῖ
φιλεργοῦντας ἐν τοῖς ἐσχάτοις τῆς Εὐβοίας συκοφαν-
τοῦσι, τοὺς δὲ τὸ γυμνάσιον γεωργοῦντας καὶ τὴν
ἀγορὰν κατανέμοντας οὐδὲν οἴονται ποιεῖν δεινόν.
βλέπετε γὰρ αὐτοὶ δήπουθεν, ὅτι τὸ γυμνάσιον ὑμῖν
ἄρουραν πεποιήκασιν, ὥστε τὸν Ἡρακλέα καὶ ἄλλους
ἀνδριάντας συχνοὺς ὑπὸ τοῦ θέρους ἀποκεκρύφθαι,
τοὺς μὲν ἡρώων, τοὺς δὲ θεῶν, καὶ ὅτι καθ' ἡμέραν
τὰ τοῦ ῥήτορος τούτου πρόβατα ἕωθεν εἰς τὴν ἀγορὰν
ἐμβάλλει καὶ κατανέμεται τὰ περὶ τὸ βουλευτήριον καὶ
τὰ ἀρχεῖα· ὥστε τοὺς πρῶτον ἐπιδημήσαντας ξένους
τοὺς μὲν καταγελᾶν τῆς πόλεως, τοὺς δὲ οἰκτίρειν
10 αὐτήν." πάλιν οὖν ταῦτα ἀκούσαντες ὠργίζοντο πρὸς
ἐκεῖνον καὶ ἐθορύβουν. "καὶ τοιαῦτα ποιῶν τοὺς τα-
λαιπώρους ἰδιώτας οἴεται δεῖν ἀπαγαγεῖν, ἵνα δηλονότι
μηδεὶς ἐργάζηται τὸ λοιπόν, ἀλλ' οἱ μὲν ἔξω ληστεύ-
ωσιν, οἱ δ' ἐν τῇ πόλει λωποδυτῶσιν. ἐμοὶ δέ", ἔφη,
"δοκεῖ τούτους ἐᾶν ἐφ' οἷς αὐτοὶ πεποιήκασιν, ὑποτε-
λοῦντας τὸ λοιπὸν ὅσον μέτριον, περὶ δὲ τῶν ἔμπρο-
σθεν προσόδων συγγνῶναι αὐτοῖς, ἐὰν δὲ τιμὴν θέλωσι
καταβαλεῖν τοῦ χωρίου, ἀποδόσθαι αὐτοῖς ἐλάττονος
11 ἢ ἄλλοις." εἰπόντος δὲ αὐτοῦ τοιαῦτα πάλιν ὁ ἐξ
ἀρχῆς ἐκεῖνος ἀντέλεγε, καὶ ἐλοιδοροῦντο ἐπὶ πολύ.
τέλος δὲ καὶ ἐμὲ ἐκέλευον εἰπεῖν ὅ τι βούλομαι. "Καὶ
τί με", ἔφην, "δεῖ λέγειν;" "Πρὸς τὰ εἰρημένα", εἶπέ

τις τῶν καθημένων. "Οὐκοῦν λέγω", ἔφην, "ὅτι οὐδὲν ἀληθές ἐστιν ὧν εἴρηκεν. ἐγὼ μέν, ὦ ἄνδρες, ἐνύπνια ᾤμην ὁρᾶν, ἀγροὺς καὶ κώμας καὶ τοιαῦτα φλυαροῦντος. ἡμεῖς δὲ οὔτε κώμην ἔχομεν οὔτε ἵππους οὔτε ὄνους οὔτε βοῦς. εἴθε γὰρ ἦν ἔχειν ἡμᾶς ὅσα οὗτος ἔλεγεν ἀγαθά, ἵνα καὶ ὑμῖν ἐδώκαμεν καὶ αὐτοὶ τῶν μακαρίων ἦμεν. καὶ τὰ νῦν δὲ ὄντα ἡμῖν ἱκανά ἐστιν, ἐξ ὧν εἴ τι βούλεσθε λάβετε· κἂν πάντα ἐθέλητε, ἡμεῖς ἕτερα κτησόμεθα." ἐπὶ τούτῳ δὲ τῷ λόγῳ ἐπῄνεσαν.

Εἶτα ἐπηρώτα με ὁ ἄρχων, τί δυνησόμεθα δοῦναι 12
τῷ δήμῳ. κἀγώ· "Τέτταρα", ἔφην, "ἐλάφεια δέρματα πάνυ καλά." οἱ δὲ πολλοὶ αὐτῶν ἐγέλασαν. ὁ δὲ ἄρχων ἠγανάκτησε πρός με. "Τὰ γὰρ ἄρκτεια", ἔφην, "σκληρά ἐστι καὶ τὰ τράγεια οὐκ ἄξια τούτων, τἄλλα δὲ παλαιά, τὰ δὲ μικρὰ αὐτῶν· εἰ δὲ βούλεσθε, κἀκεῖνα λάβετε." πάλιν οὖν ἠγανάκτει καὶ ἔφη με ἄγροικον εἶναι παντελῶς. κἀγώ "Πάλιν", εἶπον, "αὖ καὶ σὺ ἀγροὺς λέγεις; οὐκ ἀκούεις ὅτι ἀγροὺς οὐκ ἔχομεν;"
ὁ δὲ ἠρώτα με, εἰ σῖτον ἔχομεν καὶ πόσον τινά. εἶπον 13
τὸν ὄντα ἀληθῶς· "Δύο", ἔφην, "μεδίμνους πυρῶν καὶ τέτταρας κριθῶν καὶ τοσούτους κέγχρων, κυάμων δὲ ἡμίεκτον· οὐ γὰρ ἐγένοντο τῆτες. τοὺς μὲν οὖν πυροὺς καὶ τὰς κριθάς", ἔφην, "ὑμεῖς λάβετε, τὰς δὲ κέγχρους ἡμῖν ἄφετε. εἰ δὲ κέγχρων δεῖσθε, καὶ ταύτας λάβετε." "Οὐδὲ οἶνον ποιεῖτε;" ἄλλος τις ἠρώτησε. "Ποιοῦμεν", εἶπον. "ἂν οὖν τις ὑμῶν ἀφίκηται, δώσομεν· ὅπως δὲ ἥξει φέρων ἀσκόν τινα· ἡμεῖς γὰρ οὐκ ἔχομεν." "Πόσαι γάρ τινές εἰσιν ὑμῖν ἄμπελοι;" "Δύο μέν", ἔφην, "αἱ πρὸ τῶν θυρῶν, εἴσω δὲ τῆς αὐλῆς εἴκοσι· καὶ τοῦ ποταμοῦ πέραν, ἃς ἔναγχος ἐφυτεύσαμεν, ἕτεραι τοσαῦται· εἰσὶ δὲ γενναῖαι σφόδρα καὶ τοὺς βότρυς φέρουσι

14 *μεγάλους, ὅταν οἱ παριόντες ἐῶσιν αὐτούς. ταῦτά ἐστιν*
ἡμῖν· εἰ οὖν καὶ πάντα θέλετε, ἡμεῖς ἑκόντες ὑμῖν
χαριζόμεθα, καὶ οὐδὲν ὑμᾶς ἀφαιρεῖσθαι δεῖ πρὸς βίαν
ὥσπερ ἀλλοτρίων ἢ πονηρῶν· ἐπεί τοι καὶ πολῖται τῆς
πόλεώς ἐσμεν, ὡς ἐγὼ τοῦ πατρὸς ἤκουον. οὐκοῦν
καὶ τρέφομεν ὑμετέρους πολίτας τοὺς παῖδας· κἄν
ποτε δέησθε, βοηθήσουσιν ὑμῖν πρὸς λῃστὰς ἢ πρὸς
πολεμίους. νῦν μὲν οὖν εἰρήνη ἐστίν· ἐὰν δέ ποτε
συμβῇ καιρὸς τοιοῦτος, εὔξεσθε τοὺς πολλοὺς φανῆναι
ὁμοίους ἡμῖν. μὴ γὰρ δὴ τοῦτόν γε τὸν ῥήτορα νο-
μίζετε μαχεῖσθαι τότε περὶ ὑμῶν, εἰ μή γε λοιδορού-
15 *μενον ὥσπερ τὰς γυναῖκας. ὃ δὲ ἐτόλμησεν εἰπεῖν*
περὶ τῶν ναυαγίων, πρᾶγμα οὕτως ἀνόσιον καὶ πονη-
ρόν, (τοῦτο γὰρ μικροῦ ἐξελαθόμην εἰπεῖν ὃ πάντων
πρῶτον ἔδει με εἰρηκέναι) τίς ἂν πιστεύσειέ ποτε ὑμῶν;
μὴ γὰρ εἴη ποτέ, ὦ Ζεῦ, λαβεῖν μηδὲ κερδᾶναι κέρδος
τοιοῦτον ἀπὸ ἀνθρώπων δυστυχίας. ἀλλὰ ὠφελήθην
μὲν οὐδὲν πώποτε, ἠλέησα δὲ πολλάκις ναυαγοὺς
ἀφικομένους καὶ τῇ σκηνῇ ὑπεδεξάμην καὶ φαγεῖν
ἔδωκα καὶ πιεῖν καί, εἴ τι ἄλλο ἐδυνάμην, ἐπεβοήθησα
καὶ συνηκολούθησα μέχρι τῶν οἰκουμένων. ἀλλὰ τίς
ἂν ἐκείνων ἐμοὶ νῦν μαρτυρήσειεν; οὔκουν οὐδὲ τοῦτο
ἐποίουν μαρτυρίας ἕνεκεν ἢ χάριτος, ὅς γε οὐδ᾽ ὅθεν
ἦσαν ἠπιστάμην. μὴ γὰρ ὑμῶν γε μηδεὶς περιπέσοι
τοιούτῳ πράγματι.”

16 *Ταῦτα δὲ ἐμοῦ λέγοντος ἀνίσταταί τις ἐκ μέσων·*
κἀγὼ πρὸς ἐμαυτὸν ἐνεθυμήθην, ὅτι ἄλλος τις τοιοῦτος
τυχὸν ἐμοῦ καταψευσόμενος. ὁ δὲ εἶπεν· “Ἄνδρες,
ἐγὼ πάλαι τοῦτον ἀμφιγνοῶν ἠπίστουν ὅμως. ἐπεὶ δὲ
σαφῶς αὐτὸν ἔγνωκα, δεινόν μοι δοκεῖ, μᾶλλον δὲ
ἀσεβές, μὴ εἰπεῖν, ἃ συνεπίσταμαι, μηδ᾽ ἀποδοῦναι

λόγῳ χάριν, ἔργῳ τὰ μέγιστα εὖ παθών. εἰμὶ δέ", ἔφη, "πολίτης, ὡς ἴστε, καὶ ὅδε", δείξας τὸν παρακαθήμενον, καὶ ὃς ἐπανέστη· "ἐτύχομεν δὲ πλέοντες ἐν τῇ Σωκλέους νηὶ τρίτον ἔτος. καὶ διαφθαρείσης τῆς νεὼς περὶ τὸν Καφηρέα παντελῶς ὀλίγοι τινὲς ἐσώθημεν ἀπὸ πολλῶν. τοὺς μὲν οὖν πορφυρεῖς ἀνέλαβον· εἶχον 17
γὰρ αὐτῶν τινες ἀργύριον ἐν φασκωλίοις. ἡμεῖς δὲ γυμνοὶ παντελῶς ἐκπεσόντες δι' ἀτραποῦ τινος ἐβαδίζομεν, ἐλπίζοντες εὑρήσειν σκέπην τινὰ ποιμένων ἢ βουκόλων, κινδυνεύοντες ὑπὸ λιμοῦ τε καὶ δίψους διαφθαρῆναι. καὶ μόλις ποτὲ ἤλθομεν ἐπὶ σκηνάς τινας καὶ στάντες ἐβοῶμεν. προελθὼν δὲ οὗτος εἰσάγει τε ἡμᾶς ἔνδον καὶ ἀνέκαε πῦρ οὐχ ἀθρόον, ἀλλὰ κατ' ὀλίγον· καὶ τὸν μὲν ἡμῶν αὐτὸς ἐνέτριβε, τὸν δὲ ἡ γυνὴ στέατι· οὐ γὰρ ἦν αὐτοῖς ἔλαιον· τέλος δὲ ὕδωρ 18
κατέχεον θερμόν, ἕως ἀνέλαβον ἀπεψυγμένους. ἔπειτα κατακλίναντες καὶ περιβαλόντες οἷς εἶχον παρέθηκαν φαγεῖν ἡμῖν ἄρτους πυρίνους, αὐτοὶ δὲ κέγχρον ἑφθὴν ἤσθιον· ἔδωκαν δὲ καὶ οἶνον ἡμῖν πιεῖν, ὕδωρ αὐτοὶ πίνοντες, καὶ κρέα ἐλάφεια ὀπτῶντες ἄφθονα, τὰ δὲ ἕψοντες· τῇ δ' ὑστεραίᾳ βουλομένους ἀπιέναι κατέσχον ἐπὶ τρεῖς ἡμέρας. ἔπειτα προὔπεμψαν εἰς τὸ πεδίον, καὶ ἀπιοῦσι κρέας ἔδωκαν καὶ δέρμα ἑκατέρῳ πάνυ καλόν. ἐμὲ δὲ ὁρῶν ἐκ τῆς κακοπαθείας ἔτι πονηρῶς ἔχοντα ἐνέδυσε χιτώνιον, τῆς θυγατρὸς ἀφελόμενος· ἐκείνη δὲ ἄλλο τι ῥάκος περιεζώσατο. τοῦτο, ἐπειδὴ ἐν τῇ κώμῃ ἐγενόμην, ἀπέδωκα. οὕτως ἡμεῖς γε ὑπὸ τούτου μάλιστα ἐσώθημεν μετὰ τοὺς θεούς." ταῦτα 19
δὲ ἐκείνου λέγοντος ὁ μὲν δῆμος ἤκουεν ἡδέως καὶ ἐπῄνουν με, ἐγὼ δὲ ἀναμνησθείς· "Χαῖρε", ἔφην, "Σωτάδη·" καὶ προσελθὼν ἐφίλουν αὐτὸν καὶ τὸν ἕτερον.

ὁ δὲ δῆμος ἐγέλα σφόδρα, ὅτι ἐφίλουν αὐτούς. τότε ἔγνων, ὅτι ἐν ταῖς πόλεσιν οὐ φιλοῦσιν ἀλλήλους. παρελθὼν δὲ ἐκεῖνος ὁ ἐπιεικὴς ὁ τὴν ἀρχὴν ὑπὲρ ἐμοῦ λέγων "Ἐμοί", ἔφη, "ὦ ἄνδρες, δοκεῖ καλέσαι τοῦτον εἰς τὸ πρυτανεῖον ἐπὶ ξένια· ἀντὶ δὲ τοῦ χιτῶνος, ὃν ἔδωκε τῷ πολίτῃ κινδυνεύοντι τὴν θυγατέρα ἀποδύσας, ἐπιδοῦναι αὐτῷ τὴν πόλιν χιτῶνα καὶ ἱμάτιον, ἵνα καὶ τοῖς ἄλλοις προτροπὴ γένηται δικαίοις εἶναι καὶ ἐπαρκεῖν ἀλλήλοις, ψηφίσασθαι δὲ αὐτοῖς καρποῦσθαι τὸ χωρίον καὶ αὐτοὺς καὶ τὰ τέκνα, καὶ μηδένα αὐτοῖς ἐνοχλεῖν." ἐπὶ τούτῳ δὲ ἐπῃνέθη, καὶ ἐγένετο ὡς εἶπε. ἀπ' ἐκείνου δὲ ἡμᾶς οὐδεὶς ἠνώχλησεν.'

III *Σχεδὸν οὖν εἰρηκότος αὐτοῦ ταῦτα πρὸς ταῖς σκηναῖς ἦμεν. κἀγὼ γελάσας εἶπον· 'Ἀλλ' ἕν τι ἀπεκρύψω τοὺς πολίτας, τὸ κάλλιστον τῶν κτημάτων.' 'Τί τοῦτο;' εἶπε. 'Τὸν κῆπον', ἔφην, 'τοῦτον, πάνυ καλὸν καὶ λάχανα πολλὰ καὶ δένδρα ἔχοντα.' 'Οὐκ ἦν', ἔφη, 'τότε, ἀλλ' ὕστερον ἐποιήσαμεν.' εἰσελθόντες οὖν εὐωχούμεθα τὸ λοιπὸν τῆς ἡμέρας, ἡμεῖς μὲν κατακλινέντες ἐπὶ φύλλων τε καὶ δερμάτων ἐπὶ στιβάδος ὑψηλῆς, ἡ*
2 *δὲ γυνὴ πλησίον παρὰ τὸν ἄνδρα καθημένη. θυγάτηρ δὲ ὡραία γάμου διηκονεῖτο καὶ ἐνέχει πιεῖν μέλανα οἶνον ἡδύν. οἱ δὲ παῖδες τὰ κρέα παρεσκεύαζον, καὶ αὐτοὶ ἅμα ἐδείπνουν παρατιθέντες, ὥστε ἐμὲ εὐδαιμονίζειν τοὺς ἀνθρώπους ἐκείνους καὶ οἴεσθαι μακαρίως ζῆν πάντων μάλιστα ὧν ἠπιστάμην. ἤδη δ' ἱκανῶς ἡμῶν ἐχόντων ἦλθε κἀκεῖνος ὁ ἕτερος. συνηκολούθει δὲ υἱὸς αὐτῷ, μειράκιον οὐκ ἀγεννές, λαγὼν φέρων. εἰσελθὼν δὲ οὗτος ἠρυθρίασεν· ἐν ὅσῳ δὲ ὁ πατὴρ αὐτοῦ ἠσπάζετο ἡμᾶς, αὐτὸς ἐφίλησε τὴν κόρην καὶ*

τὸν λαγὼν ἐκείνη ἔδωκεν. ἡ μὲν οὖν παῖς ἐπαύσατο 3
διακονουμένη καὶ παρὰ τὴν μητέρα ἐκαθέζετο, τὸ δὲ
μειράκιον ἀντ' ἐκείνης διηκονεῖτο. κἀγὼ τὸν ξένον
ἠρώτησα· 'Αὕτη', ἔφην, 'ἐστίν, ἧς τὸν χιτῶνα ἀποδύ-
σας τῷ ναυαγῷ ἔδωκας;' καὶ ὃς γελάσας· 'Οὐκ', ἔφη,
'ἀλλ' ἐκείνη πάλαι πρὸς ἄνδρα ἐδόθη πλούσιον εἰς
κώμην.' 'Οὐκοῦν', ἔφην, 'ἐπαρκοῦσιν ὑμῖν ὅ τι ἂν
δέησθε;' 'Οὐδέν', εἶπεν ἡ γυνή, 'δεόμεθα ἡμεῖς. ἐκεῖ-
νοι δὲ λαμβάνουσι καὶ ὁπηνίκ' ἄν τι θηραθῇ καὶ
ὀπώραν καὶ λάχανα· οὐ γάρ ἐστι κῆπος παρ' αὐτοῖς.'
'Τί οὖν;' ἔφην, 'καὶ ταύτην διανοεῖσθε διδόναι πλουσίῳ;'
ἐνταῦθα μέντοι ἄμφω ἠρυθριασάτην, ἡ κόρη καὶ τὸ 4
μειράκιον. ὁ δὲ πατὴρ αὐτῆς ἔφη· 'Πένητα ἄνδρα λή-
ψεται, ὅμοιον ἡμῖν κυνηγέτην'· καὶ μειδιάσας ἔβλεψεν
εἰς τὸν νεανίσκον. κἀγώ· 'Τί οὖν οὐκ ἤδη δίδοτε; ἢ
δεῖ ποθεν αὐτὸν ἐκ κώμης ἀφικέσθαι;' 'Δοκῶ μέν',
εἶπεν, 'οὐ μακράν ἐστιν· ἀλλ' ἔνδον ἐνθάδε. καὶ ποιή-
σομέν γε τοὺς γάμους ἡμέραν ἀγαθὴν ἐπιλεξάμενοι.'
κἀγώ· 'Πῶς', ἔφην, 'κρίνετε τὴν ἀγαθὴν ἡμέραν;' καὶ
ὅς· 'Ὅταν μὴ μικρὸν ᾖ τὸ σελήνιον· δεῖ δὲ καὶ τὸν
ἀέρα εἶναι καθαρόν, αἰθρίαν λαμπράν.' κἀγώ· 'Τί δέ; 5
τῷ ὄντι κυνηγέτης ἀγαθός ἐστιν;' ἔφην. 'Ἔγωγε',
εἶπεν ὁ νεανίσκος, 'καὶ ἔλαφον καταπονῶ καὶ σῦν
ὑφίσταμαι. ὄψει δὲ αὔριον, ἂν θέλῃς, ὦ ξένε.' 'καὶ
τὸν λαγὼν τοῦτον σύ', ἔφην, 'ἔλαβες;' 'Ἐγώ', ἔφη γε-
λάσας, 'τῷ λιναρίῳ τῆς νυκτός· ἦν γὰρ αἰθρία πάνυ
καλὴ καὶ ἡ σελήνη τηλικαύτη τὸ μέγεθος, ἡλίκη οὐδε-
πώποτε ἐγένετο.' ἐνταῦθα μέντοι ἐγέλασαν ἀμφότεροι,
οὐ μόνον ὁ τῆς κόρης πατήρ, ἀλλὰ καὶ ὁ ἐκείνου. ὁ
δὲ ᾐσχύνθη καὶ ἐσιώπησε. λέγει οὖν ὁ τῆς κόρης 6
πατήρ· 'Ἐγὼ μέν', ἔφη, 'ὦ παῖ, οὐδὲν ὑπερβάλλομαι.

ὁ δὲ πατήρ σου περιμένει, ἔστ' ἂν ἱερεῖον πρίηται πορευ-
θείς. δεῖ γὰρ θῦσαι τοῖς θεοῖς.' εἶπεν οὖν ὁ νεώτε-
ρος ἀδελφὸς τῆς κόρης· ''Αλλ' ἱερεῖόν γε πάλαι οὗτος
παρεσκεύακε, καὶ ἔστιν ἔνδον τρεφόμενον ὄπισθεν τῆς
σκηνῆς γενναῖον.' ἠρώτων οὖν αὐτόν· ''Αληθῶς;' ὁ
δὲ ἔφη. 'Καὶ πόθεν σοι;' ἔφασαν. ''Ότε τὴν ὗν ἐλά-
βομεν τὴν τὰ τέκνα ἔχουσαν, τὰ μὲν ἄλλα διέδρα·
καὶ ἦν ταχύτερα τοῦ λαγώ· ἑνὸς δὲ ἐγὼ λίθῳ ἔτυχον
καὶ λαβὼν τὸ δέρμα ἐπέβαλον· τοῦτο ἠλλαξάμην ἐν
τῇ κώμῃ καὶ ἔλαβον ἀντ' αὐτοῦ χοῖρον καὶ ἔθρεψα
7 ποιήσας ὄπισθεν συφεόν.' 'Ταῦτα', εἶπεν, 'ἄρα ἡ μή-
τηρ σου ἐγέλα, ὁπότε θαυμάζοιμι ἀκούων γρυλιζούσης
τῆς συός, καὶ τὰς κριθὰς οὕτως ἀνήλισκες.' 'αἱ γὰρ
εὐβοΐδες', εἶπεν, 'οὐχ ἱκαναὶ ἦσαν πιᾶναι, εἰ μή γε
βαλάνους ἤθελον ἐσθίειν. 'Αλλ' εἰ βούλεσθε ἰδεῖν
αὐτήν, ἄξω πορευθείς.' οἱ δὲ ἐκέλευον. ἀπῆσαν οὖν
ἐκεῖνός τε καὶ οἱ παῖδες αὐτόθεν δρόμῳ χαίροντες.
ἐν δὲ τούτῳ ἡ παρθένος ἀναστᾶσα ἐξ ἑτέρας σκηνῆς
ἐκόμισεν οὖα τετμημένα καὶ μέσπιλα καὶ μῆλα χειμε-
ρινὰ καὶ τῆς γενναίας σταφυλῆς βότρυς σφριγῶντας,
καὶ ἔθηκεν ἐπὶ τὴν τράπεζαν, καταψήσασα φύλλοις
8 ἀπὸ τῶν κρεῶν, ὑποβαλοῦσα καθαρὰν πτερίδα. ἧκον
δὲ καὶ οἱ παῖδες τὴν ὗν ἄγοντες μετὰ γέλωτος καὶ
παιδιᾶς. συνηκολούθει δὲ ἡ μήτηρ τοῦ νεανίσκου καὶ
ἀδελφοὶ δύο παιδάρια· ἔφερον δὲ ἄρτους τε καθαροὺς
καὶ ᾠὰ ἑφθὰ ἐν ξυλίνοις πίναξι καὶ ἐρεβίνθους φρυ-
κτούς. ἀσπασαμένη δὲ τὸν ἀδελφὸν ἡ γυνὴ καὶ τὴν
ἀδελφιδῆν ἐκαθέζετο παρὰ τὸν ἄνδρα αὐτῆς καὶ εἶπεν·
9 ''Ιδοῦ τὸ ἱερεῖον, ὃ οὗτος πάλαι ἔτρεφεν εἰς τοὺς γά-
μους, καὶ τἄλλα τὰ παρ' ἡμῶν ἕτοιμά ἐστι, καὶ ἄλφιτα
καὶ ἄλευρα πεποίηται· μόνον ἴσως οἰναρίου προσ-

δεησόμεθα· καὶ τοῦτο οὐ χαλεπὸν ἐκ τῆς κώμης λαβεῖν.' παρειστήκει δὲ αὐτῇ πλησίον ὁ υἱὸς πρὸς τὸν κηδεστὴν ἀποβλέπων. καὶ ὃς μειδιάσας εἶπεν· 'Οὗτος', ἔφη, 'ἐστὶν ὁ ἐπέχων· ἴσως γὰρ ἔτι βούλεται πιᾶναι τὴν ὗν.' καὶ τὸ μειράκιον· 'Αὕτη μέν', εἶπεν, 'ὑπὸ τοῦ λίπους διαρραγήσεται.' κἀγὼ βουλόμενος αὐτῷ βοηθῆσαι· 'Ὅρα', ἔφην, 'μή, ἕως πιαίνεται ἡ ὗς, οὗτος ὑμῖν λεπτὸς γένηται.' ἡ δὲ μήτηρ· 'Ἀληθῶς', εἶπεν, 'ὁ ξένος λέγει, ἐπεὶ καὶ νῦν λεπτότερος αὐτοῦ γέγονε· καὶ πρῴην ᾐσθόμην τῆς νυκτὸς αὐτὸν ἐγρηγορότα καὶ προελθόντα ἔξω τῆς σκηνῆς.' 'Οἱ κύνες', ἔφη, 'ὑλάκτουν, καὶ ἐξῆλθον ὀψόμενος.' 'Οὐ σύγε', εἶπεν, 'ἀλλὰ περιεπάτεις ἀλύων. μὴ οὖν πλείω χρόνον ἐῶμεν ἀνιᾶσθαι αὐτόν.' καὶ περιβαλοῦσα ἐφίλησε τὴν μητέρα τῆς κόρης. ἡ δὲ πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς· 'Ποιῶμεν', εἶπεν, 'ὡς θέλουσι.' καὶ ἔδοξε ταῦτα, καὶ εἶπον· 'Εἰς τρίτην ποιῶμεν τοὺς γάμους.' παρεκάλουν δὲ κἀμὲ προσμεῖναι τὴν ἡμέραν.

XII. De Drimaco praedone.

(Athen. VI p. 265 b—266 e. cf. fasc. VII p. 3).

Πρώτους ἐγὼ τῶν Ἑλλήνων οἶδα ἀργυρωνήτοις 1
δούλοις χρησαμένους Χίους, ὡς ἱστορεῖ Θεόπομπος ἐν
τῇ ἑβδόμῃ καὶ δεκάτῃ τῶν ἱστοριῶν· 'Χῖοι πρῶτοι τῶν
Ἑλλήνων μετὰ Θετταλοὺς καὶ Λακεδαιμονίους ἐχρή-
σαντο δούλοις, τὴν μέντοι κτῆσιν αὐτῶν οὐ τὸν αὐ-
τὸν τρόπον ἐκείνοις ⟨ἐποιήσαντο⟩. Λακεδαιμόνιοι μὲν 2
γὰρ καὶ Θετταλοὶ φανήσονται κατασκευασάμενοι τὴν
δουλείαν ἐκ τῶν Ἑλλήνων τῶν οἰκούντων πρότερον
τὴν χώραν, ἣν ἐκεῖνοι νῦν ἔχουσιν, οἱ μὲν Ἀχαιῶν,

12 ἰδίαν ἐχώρησε. καὶ οἱ Χῖοι πάλιν ὑπὸ τῶν οἰκετῶν ἀδικούμενοι καὶ διαρπαζόμενοι μνησθέντες τῆς τοῦ τετελευτηκότος ἐπιεικείας ἡρῷον ἱδρύσαντο κατὰ τὴν χώραν καὶ ἐπωνόμασαν ἥρωος εὐμενοῦς· καὶ αὐτῷ ἔτι καὶ νῦν οἱ δραπέται ἀποφέρουσιν ἀπαρχὰς πάντων ὧν
13 ἂν ἕλωνται. φασὶ δὲ καὶ καθ' ὕπνους ἐπιφαινόμενον πολλοῖς τῶν Χίων προσημαίνειν οἰκετῶν ἐπιβουλάς· καὶ οἷς ἂν ἐπιφανῇ, οὗτοι θύουσιν αὐτῷ ἐλθόντες ἐπὶ τὸν τόπον, οὗ τὸ ἡρῷόν ἐστιν αὐτοῦ.'

XIII. Fabulatur Eucrates de mago quodam Pancrate.

(Lucian. incredul. c. 33—36. vid. fasc. II p. 20. cf. Goethii 'Der Zauberlehrling'.)

1 ''Οπότε ἐν Αἰγύπτῳ διῆγον ἔτι νέος ὤν, ὑπὸ τοῦ πατρὸς ἐπὶ παιδείας προφάσει ἀποσταλείς, ἐπεθύμησα ἐς Κοπτὸν ἀναπλεύσας ἐκεῖθεν ἐπὶ τὸν Μέμνονα ἐλθὼν ἀκοῦσαι τὸ θαυμαστὸν ἐκεῖνο ἠχοῦντα πρὸς ἀνίσχοντα τὸν ἥλιον. ἐκείνου μὲν οὖν ἤκουσα οὐ κατὰ τὸ κοινὸν τοῖς πολλοῖς ἄσημόν τινα φωνήν, ἀλλά μοι καὶ ἔχρησεν ὁ Μέμνων αὐτὸς ἀνοίξας τὸ στόμα ἐν ἔπεσιν ἑπτά, καὶ εἴ γε μὴ περιττὸν ἦν, αὐτὰ ἂν ὑμῖν εἶπον
2 τὰ ἔπη. κατὰ δὲ τὸν ἀνάπλουν ἔτυχεν ἡμῖν συμπλέων Μεμφίτης ἀνὴρ τῶν ἱερογραμματέων, θαυμάσιος τὴν σοφίαν καὶ τὴν παιδείαν πᾶσαν εἰδὼς τὴν Αἰγυπτίων· ἐλέγετο δὲ τρία καὶ εἴκοσιν ἔτη ἐν τοῖς ἀδύτοις ὑπόγειος ᾠκηκέναι μαγεύειν παιδευόμενος ὑπὸ τῆς Ἴσιδος.' 'Παγκράτην', ἔφη, 'λέγεις', ὁ Ἀρίγνωτος, 'ἐμὸν διδάσκαλον, ἱερὸν ἄνδρα, ἐξυρημένον, ἐν ὀθονίοις, νοήμονα, οὐ καθαρῶς ἑλληνίζοντα, ἐπιμήκη, σιμόν, πρόχειλον, ὑπόλεπτον τὰ σκέλη.' 'Αὐτόν', ἦ δ' ὅς, 'ἐκεῖνον τὸν

Παγκράτην· καὶ τὰ μὲν πρῶτα ἠγνόουν ὅστις ἦν, ἐπεὶ 3 δὲ ἑώρων αὐτόν, εἴ ποτε ὁρμίσαιμεν τὸ πλοῖον, ἄλλα τε πολλὰ τεράστια ἐργαζόμενον, καὶ δὴ καὶ ἐπὶ κροκοδείλων ὀχούμενον καὶ συννέοντα τοῖς θηρίοις, τὰ δὲ ὑποπτήσσοντα καὶ σαίνοντα ταῖς οὐραῖς, ἔγνων ἱερόν τινα ἄνθρωπον ὄντα, καὶ κατὰ μικρὸν φιλοφρονούμενος ἔλαθον ἑταῖρος αὐτῷ καὶ συνήθης γενόμενος, ὥστε πάντων ἐκοινώνει μοι τῶν ἀπορρήτων· καὶ τέλος πείθει με τοὺς μὲν οἰκέτας ἅπαντας ἐν τῇ Μέμφιδι καταλιπεῖν, αὐτὸν δὲ μόνον ἀκολουθεῖν μετ' αὐτοῦ, μὴ γὰρ ἀπορήσειν ἡμᾶς τῶν διακονησομένων. καὶ τὸ μετὰ τοῦτο οὕτω διήγομεν. ἐπειδὴ δὲ ἔλθοιμεν εἴς τι κατ- 4
αγώγιον, λαβὼν ἂν ὁ ἀνὴρ τὸν μοχλὸν τῆς θύρας ἢ τὸ κόρηθρον ἢ καὶ τὸ ὕπερον περιβαλὼν ἱματίοις ἐπειπών τινα ἐπῳδὴν ἐποίει βαδίζειν τοῖς ἄλλοις ἅπασιν ἄνθρωπον εἶναι δοκοῦντα· τὸ δὲ ἀπελθὸν ὕδωρ τε ἀπήντλει καὶ ὠψώνει καὶ ἐσκεύαζε καὶ ἐς πάντα δεξιῶς ὑπηρέτει καὶ διηκονεῖτο ἡμῖν· εἶτα δὲ ἐπειδὴ ἅλις ἔχοι τῆς διακονίας, αὖθις κόρηθρον τὸ κόρηθρον ἢ ὕπερον τὸ ὕπερον ἄλλην ἐπῳδὴν ἐπειπὼν ἐποίει ἄν. τοῦτο ἐγὼ πάνυ ἐσπουδακὼς οὐκ εἶχον ὅπως ἐκμάθοιμι παρ' αὐτοῦ· ἐβάσκαινε γὰρ αὐτοῦ, καίτοι πρὸς τὰ ἄλλα προχειρότατος ὤν. μιᾷ δέ ποτε ἡμέρᾳ λαθὼν ἐπήκουσα 5
τῆς ἐπῳδῆς, ἦν δὲ τρισύλλαβος, σχεδὸν ἐν σκοτεινῷ ὑποστάς. καὶ ὁ μὲν ᾤχετο ἐς τὴν ἀγορὰν ἐντειλάμενος τῷ ὑπέρῳ ἃ ἔδει ποιεῖν. ἐγὼ δὲ ἐς τὴν ὑστεραίαν ἐκείνου τι κατὰ τὴν ἀγορὰν πραγματευομένου λαβὼν τὸ ὕπερον σχηματίσας, ὁμοίως ἐπειπὼν τὰς συλλαβάς, ἐκέλευον ὑδροφορεῖν. ἐπεὶ δὲ ἐμπλησάμενος τὸν ἀμφορέα ἐκόμισε, "Πέπαυσο", ἔφην, "καὶ μηκέτι ὑδροφόρει, ἀλλ' ἴσθι αὖθις ὕπερον." τὸ δὲ οὐκέτι μοι

πείθεσθαι ἤθελεν, ἀλλ' ὑδροφόρει ἀεί, ἄχρι δὴ ἐνέ-
6 *πλησεν ἡμῖν ὕδατος τὴν οἰκίαν ἐπαντλοῦν. ἐγὼ δὲ*
ἀμηχανῶν τῷ πράγματι — ἐδεδίειν· γάρ, μὴ ὁ Παγ-
κράτης ἐπανελθὼν ἀγανακτήσῃ, ὅπερ καὶ ἐγένετο —
ἀξίνην λαβὼν διακόπτω τὸ ὕπερον εἰς δύο μέρη· τὰ
δέ, ἑκάτερον τὸ μέρος, ἀμφορέας λαβόντα ὑδροφόρει
καὶ ἀνθ' ἑνὸς δύο μοι ἐγένοντο ὑδροφόροι. ἐν τούτῳ
καὶ ὁ Παγκράτης ἐφίσταται καὶ συνεὶς τὸ γενόμενον
ἐκεῖνα μὲν αὖθις ἐποίησε ξύλα, ὥσπερ ἦν πρὸ τῆς
ἐπῳδῆς, αὐτὸς δὲ ἀπολιπών με λαθὼν οὐκ οἶδ' ὅποι
ἀφανὴς ᾤχετο ἀπιών.'

Epigrammata ex anthologia Palatina.

1. *Ὁ πλόος ὡραῖος· καὶ γὰρ λαλαγεῦσα χελιδὼν*
   ἤδη μέμβλωκεν, χὠ χαρίεις Ζέφυρος·
λειμῶνες δ' ἀνθεῦσι, σεσίγηκεν δὲ θάλασσα
   κύμασι καὶ τρηχεῖ πνεύματι βρασσομένη.
Ἀγκύρας δ' ἀνέλοιο καὶ ἐκλύσαιο γύαια,
   ναυτίλε, καὶ πλώοις πᾶσαν ἐφεὶς ὀθόνην.
Ταῦθ' ὁ Πρίηπος ἐγὼν ἐπιτέλλομαι ὁ λιμενίτας,
   ὤνθρωφ', ὡς πλώοις πᾶσαν ἐπ' ἐμπορίην. (*Leonidas, X 1.*)

2. *Πολλάκις εὐξαμένῳ μοι ἀεὶ θυμῆρες ἔδωκας*
   τέκμαρ ἀκυμάντου, Ζεῦ πάτερ, εὐπλοΐης·
δῴης μοι καὶ τοῦτον ἔτι πλόον, ἠδὲ σαώσαις
   ἤδη καὶ καμάτων ὅρμισον εἰς λιμένας.
Οἶκος καὶ πάτρη βιότου χάρις· αἱ δὲ περισσαὶ
   φροντίδες ἀνθρώποις οὐ βίος, ἀλλὰ πόνος.
(*Iul. Polyaen., IX 9.*)

3. *Γειαρότης Ἄρχιππος, ὅτ' ἐκ νούσοιο βαρείης*
   ἄρτι λιποψυχέων ἔρρεεν εἰς ἀΐδην,
εἶπε τάδ' υἱήεσσιν· 'Ἰὼ φίλα τέκνα, μάκελλαν
   καὶ τὸν ἀροτρίτην στέρξατέ μοι βίοτον·
μὴ σφαλερῆς αἰνεῖτε πόνον στονόεντα θαλάσσης
   καὶ βαρὺν ἀτηρῆς ναυτιλίης κάματον.
ὅσσον μητρυιῆς γλυκερωτέρη ἔπλετο μήτηρ,
   τόσσον ἁλὸς πολιῆς γαῖα ποθεινοτέρη.' (*Antipater, IX 23.*)